8. (Ἀντ.) φεῦ φεῦ βροτείων πημάτων ὅσαι τύχαι
ὅσαι τε μορφαί· τέρμα δ' οὐκ εἴποι τις ἄν.

---

9. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου,
δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶ μὴ κακός.

---

10. ἔνδον δὲ θαλάμοις βουκόλον ⏑ – ⏑ –
κομῶντα κισσῷ στῦλον εὐίου θεοῦ.

---

2 ἔχει λόγον — εὐτυχεῖς Stob. 3 = Menander monost. 125 **5.** Clemens Strom. V p. 715. Fr. 210 Nk Ἀμφίων λέγει τῇ Ἀντιόπῃ Clem. 3 Ζῆν' Valckenaer, τήνδ' Clem. **6.** Clemens Strom. I p. 340. Fr. 206 Nk 1 λελεγμένοι Markland, λεγόμενοι οἱ Clem. cod. 2 καλλονῇ vermutet Nauck 4 ὃς δ' — ἀεί ποτε auch Stob. Ecl. 2, 15, 12 p. 187, 10 W. εὐγλωσσίαν εἰ καὶ Clem. 5 ἀλλὰ γὰρ Stob., ἀλλά γε Clem., ἀλλ' ἐγὼ Sylburg. Vielleicht worte des hirten zu einem seiner pflegesöhne **7.** Stob. Flor. 74, 18. Fr. 209 Nk. Mahnung des chorführers an Dirke **8.** Stob. Flor. 98, 34. Clemens Strom. III p. 521. Fr. 211 Nk 1 βροτείων Clem., βρότειαι Stob. 2 ὅσαι δὲ Clem. **9.** Stob. Ecl. 1, 3, 33 p. 58, 9 W. Fr. 222 Nk 1 Eur. fr. 151, 1 τὴν τοι δίκην λέγουσι παῖδ' εἶναι Διός 2 ἔστι μὴ κακός F, ἐστὶ κακός P, ἔστ' ἢ μὴ κακός Dobree **10.** Clemens Strom. I p. 418. Fr. 203 Nk 1 lücke nach βουκόλον konstatiert Nk βλέπειν δοκῶ ergänzt Max Mayer de Eur. mythopoeia p. 76, wenn richtig, entweder βουκόλων oder κοσμοῦντα

11.

εἰ δέ που τύχοι
πέριξ ἑλίξας, εἶλκε [πάνθ'] ὁμοῦ λαβὼν
γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί.

12.

λύρα βοῶν ⏑ ῥύσι' ἐξερρύσατο.

13.

εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι.

14.

κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων
λέκτροις ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους,
δαιτὸς δὲ πληρωθεὶς τις ἄσμενος πάλιν
φαύλῃ διαίτῃ προσβαλὼν ἤσθη στόμα.

15.

κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.

16.

πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα.

17.

οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν.

18.

. . . . τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;

19.

φεῦ φεῦ, τὸ δοῦλον ὡς ἁπανταχῇ γένος
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

---

11. Auctor περὶ ὕψους 40, 4. Fr. 221 Nk ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης (scil. φησὶν Εὐριπίδης) 2 πάνθ' ergänzt Bergk **12.** Anecd. Boiss. vol. 4 p. 459. Fr. 190 Nk 1 λύρα τοίνυν προσηγορεύθη διὰ τὸ λύτρον ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ ‚λύρα βοῶν ῥύσα ἐξερρύσατο'. ῥύσα cod. Par., ῥύσει cod. Neap., ῥύσι' Boissonade **13.** Stob. Flor. 72, 8. Fr. 212 Nk. Lemma: Εὐριπίδου Ἀντιόπῃ 1 τί δεῖ S, τί δ' εἰ MA **14.** Stob. Flor. 63, 2. Fr. 213 Nk. Lemma: Εὐριπίδου Ἀντιόπῃ 2 ἐπ' Wyttenbach, ἐν hdschr. 3 πληρωθείσης M (vielleicht richtig) 4 hat auch Athen. X p. 421 F ἤσθην Athen. (richtig, wenn πληρωθείσης v. 3 richtig ist) **15.** Stob. Flor. 70, 3. Fr. 214 Nk. Lemma: Εὐριπίδου Ἀντιόπῃ **16.** Stob. Flor. 70, 10. Fr. 215 Nk. Lemma: Εὐριπίδου ἐν Ἀντιόπῃ 2 ἀνδρῶν SMA, ἀλόχων Wecklein Diese vier fragmente (**13—16**) passen schlecht zu der handlung der Antiope (verwechslung mit Ἀντιγόνη?) **17.** Stob. Flor. 62, 4. Fr. 216 Nk. Lemma: Εὐριπίδου Ἀντιόπῃ SM, Εὐρ. Ἀντιγόνῃ A **18.** Stob. Flor. 62, 12. Fr. 217 Nk. Lemma: Εὐπιπίδου Ἀντιόπῃ **19.** Stob. Flor. 62, 41. Fr. 218 Nk. Lemma: Εὐριπίδου Ἀντιόπης

IV. SCHLUSSSCENEN
AUS DEN FLINDERS-PETRIE-PAPYRI I.

(Ἀμφ.) ⏑ – ∪ –σδε μηδ' ὅπως φευξούμεθα A
ἀλλ' ὅσπερ ἡμ]ᾶς [Ζεὺ]ς ἐγέννησεν πατήρ,
σώσ]ει μεθ' ἡμῶν τ' ἐχθρὸν ἄνδρα τείσεται.
εἶ]κται δὲ πάντω[ς] εἰς τοσόνδε συμφορᾶς
ὥ]στ' οὐδ' ἂν ἐκφύγοιμεν εἰ βουλοίμεθα
Δί]ρ[κ]ης νεῶρες αἷμα μ[ὴ] δ[οῦ]ναι δίκην.
τολμῶ]σι δ' ἡμῖν εἰς [τόδ' ἔρ]χεται τύχη
ἵν' ἢ] θανεῖν δεῖ τῶιδ' ἐν ἡμέρας φάει
ἤτοι] τρόπαια πολεμίων στῆσαι χερί.
καὶ σοὶ μ]ὲν οὕτω, μῆτερ, ἐξαυδῶ τάδε.
σοὶ δ' ὃς τ]ὸ λαμπρὸν αἰθέρος ναίεις πέδον
λέγω τ]οσοῦτον, μὴ γαμεῖν μὲν ἡδέως
γήμαν]τα δ' εἶναι σοῖς τέκνοις [ἀνω]φελῆ·
οὐ γὰρ κ]αλὸν τόδ'· ἀλλὰ συμ[μαχ]εῖν φίλοις.
πείθου] πρὸς ἄγραν τ' εὐτυχῶς εἴη [μολεῖ]ν,
ὅπως ἕ]λωμεν ἄνδρα δυσσεβέστατον.
(Χο.) ὅδ'] αὐ[τό]ς, εἰ χρὴ δοξάσαι τυραννικῶι
σ]κ[ή]πτρωι, Λύκος πάρεστι· σιγῶμεν, φίλοι.
(Λύκος) ποῦ σ[. . . . . νυκτ . . . . . αι πέτραν

IV. Das erhaltene gehört dem schlussteil der tragödie an. Voraus ging die bestrafung der Dirke. Der redende ist wahrscheinlich Amphion, nicht Zethos, der aber, wie Antiope v. 10, auch anwesend ist 1 τούσδε oder τοῖσδε 2 erg. A., εἴπερ γὰρ ἡμᾶς Wil. 3 σώσει Wil. 4 ἵκται Bury. Es waren zwei buchstaben vor κ 6 ein teil des ρ von Δίρκης scheint sichtbar 7 τολμῶσι erg. A., ἅπασι Blass, πρὸς τοῖσι Wil., μένουσι Campbell 9 ἤτοι A., ἦ νυν Blass, ἢ καὶ Wil. 10 καὶ σοὶ μὲν Wil., δεδογμέν' Weil 11 σοὶ δ' ὃς τὸ Wil. 12 λέγω Blass; ὦ Ζεῦ wäre auch möglich 13 σπείραντα Bury Wil. 14 οὐ γὰρ Wil. 15 πείθου erg. A., ἀλλ' ἐλθέ Diels, σῶσον δὲ Bury, beide ergänzungen zu gross für die lücke 16 ὅπως ἕλωμεν Mahaffy 17 ὅδ' αὐτός erg. A., ἀλλ' αὐτός Mahaffy, etwas zu lang 18 σκήπτρῳ Bury die verse 19—26 sind so abgerieben und verblichen, dass die buchstaben vielfach nicht mit sicherheit erkannt werden können; daher ist auch für die ergänzung kein sicheres fundament vorhanden. Lykos kommt, um Antiope wieder einzufangen und um seine gattin Dirke zu befreien, von der er gehört hat, dass sie räubern in die hände gefallen sei. Etwa: ποῦ σ[ὺν ξένοις ἡ] Νυκτ[έως; τίν' ἀν]ὰ πέτραν | δρασμοῖς [κέκρυ]πτ[αι; ποῖ] δὲ σωθῆναι [δο]κεῖ; | τίνες δὲ καὶ πῶς δρῶντες, ἐκ ποίας [τέχνης] | σημήναθ', ἁρπάζ[ουσι τὴν γυν]αῖκ[ά μου; 19 ι vor πέτραν ganz unsicher

δρασμοῖς ἐ . . . . πτ. . . . δε σωθῆναι . . υος;
τίνες δὲ [καὶ π]ῶς δρῶντες ἐκ ποία[ς τέχνης
σημήνατ. διπα . . . . . αι . . . .;
δεινὸν νομίζων, αὐτὸς οὐκ ἀτιμά[σας
ἦλ[θον] . ο . . . . . .
ἐκμ . ν τοσ. . . . . .
. . αν κατεῖδ[ον ἀ]νδ[ράσ]ιν πειρω[μένην
. . . αιπλ . . . . . εγμ . . .

(Lücke von ca. 30 versen)

B 1 (Βουκ.) φόνου δ' ἀποδ]ρὰς ἥδομαι κα[κ]ῶν ἕκα[ς.
(Λυκ.) οὐκ ἀσφαλὲς τόδ' εἶπας, ἄνθρωπε, σκέπας.
(Βουκ.) δρᾶν δεῖ τι· κείνους δ' οἶδ' ἐγὼ τεθνη[κότας.
(Λυκ.) καλῶς ἄρ', εἴπερ οἶσθα, ταξώμεσθα ν[ῦν.
5 (Βουκ.) τάξιν τίν'] ἄλλην ἢ δόμων στείχειν [ἔ]σω;
5a (Λυκ.) . . . . .)
(Βουκ.) ἐνταῦθ', ἵν' ἡμεῖς] καὶ πρὶν οἰκοῦμ[εν στέγην.
(Λυκ.) ἁμαρτάνοιμ' ἂν] τοὺς ξένους ἐῶν μ'[έλειν.
(Βουκ.) ἀλλ' εἴσιθ' αὐτὸς] δορυφόρου[ς] ἔξω [λιπών.
(Λυκ.) μάλιστά γ', ἡμῶν πά]ντα ἵν' αἴ[ρω]σιν φό[βον.
10 (Βουκ.) τὰ δ' ἔνδον ἡμ]εῖς καὶ σὺ θήσομεν καλῶς.
(Λυκ.) πόσοι δὲ καὶ τὸ πλ]ῆθός εἰσιν οἱ ξένοι;
(Βουκ.) παῦροί τε λόγχας τ'] οὐκ ἔχουσιν ἐν χεροῖν.
(Λυκ.) ὑμεῖς μὲν ἂν φ]ρουροῖτε περιβόλῳ πέτρας
πάντηι βλέπο]ντες· κἄν τις ἐκπίπ[τ]ῃ δόμων,
15 λαβέσθε· ἐγὼ] δὲ παῖδα Ν[υκτέω]ς ἐμῆι

20 υος im faksimile nicht zu erkennen 22 σημανατ pap. αρπαζ scheint nach dem faksimile möglich B 1 Der hirt, der die söhne der Antiope aufgezogen hat, verleitet durch täuschende vorspiegelungen den Lykos, unter zurücklassung seiner leibwächter das haus zu betreten, in dem die söhne auf ihn lauern. Er meldet ihm, dass die zur verfolgung der Antiope ausgesandten schergen von den räubern getötet worden sind und dass sich Antiope im hause befindet 1 anf. erg. A. κακῶν Bury 3 erg. Mahaffy ἐκείνους pap. 5 erg. Mah. Wil. 5a dass hier ein vers des Lykos ausgefallen ist, zeigt die stichomythie. Wahrscheinlich fragte er, wo sich Antiope befinde 6—10 erg. A. 11 ὁρᾷς γάρ· ὀλίγον πλῆθος Wil., danach erg. A. 12 ἔγχη δὲ λόγχας τ' Wil., danach erg. A. Zwischen der ersten kolumne von B (= B 1) und dem letzten verse von A fehlen ca. 30 (nämlich 10 + 20) verse. B 2 enthält die anfänge der verse, deren enden auf C vom 26. bis 36. vers der ersten kolumne stehen (= v. 42—52 dieser ausg.) 13 erg. A. περίβολον bezeugt Mah. 14 anf. erg. A. ἐκπίπτῃ Bury 15 erg. A.

βουλῇ κτενῶ] καὶ χειρὶ καὶ τάχ' εἴσεται
τούς οἱ θεοὺς ἐλθό]ντας, ὡς μάτην λόγωι C 1
ηὔχησεν, ὄντας συ]μμάχους ἀνωφελεῖς.
(Βουκ.) ἥδ' οὐ βεβαία πίστ]ις, ἂν θεὸς θέλη,
θανὼν δὲ κείσει] τήνδ' ἀνὰ στέγην τάχα. 20
(Χο.) φονίοις μακα]ρίων σθένος βρόχοισι κατα-
δεῖ τὸν ἄδικον·] βροτῶν δ' αὖ τέχναις
τίς ἔφυγεν θε]όν; (Λυκ.) ἰώ μοί μοι.
(Χο.) ἔα ἔα . . . . .
κ]αὶ δ[ὴ πρὸς ἔργω]ι τῶν νεανιῶν χέρες. 2
(Λυκ.) ὦ] πρόσπ[ολοι, δραμό]ντες οὐκ ἀρήξετε;
(Χο.) ἀλαλάζετ[αι στέ]γα· βοᾷ θαν[α]σ[ίμ]ῳ μέλος.
(Λύκ.) [ὦ] γαῖα Κά[δμου κ]αὶ πόλ[ισ]μ' Ἀσωπικόν.
(Χο.) κλύεις; ὁρᾶι· π[αρα]καλεῖ πόλιν φοβερὸς [ὢν]
αἵματος. δίκ[α τοι δί]κα χρόνιος ἀλλ' ὅμως ἔπεσεν 3
ἔλαβεν ὅταν [ἔχ]ηι [τι]νʼ ἀσεβῆ βροτῶν.
(Λύκ.) οἴμοι θανοῦμαι πρὸς δυοῖν ἀσύμμαχος.
(Ζῆθ.) τὴν δ' ἐν νεκροῖσιν οὐ στένεις δάμαρτα σήν;
(Λύκ.) ἦ γὰρ τέθνηκεν; καινὸν αὖ λέγεις κακόν.
(Ζῆθ.) ὀλκοῖς γε ταυρείοισι διαφορουμένη.
(Λύκ.) πρὸς τοῦ; πρὸς ὑμῶν; τοῦτο γὰρ θέλω μαθεῖν.
(Ζῆθ.) ἐκμανθάνοις ἂν ὡς ὅλ[ω]λ' ἡμῶν ὕπο.
(Λύκ.) [ἀλ]λ' ἦ τι[νων π]εφύκαθ', ὧν οὐκ οἶδ' ἐγώ;
(Ζῆθ.) τί τοῦτ' ἐρευνᾷς; ἐν νεκροῖς πεύσει θανών.
(Ερμῆς) σιγᾶν κελ]εύω [φόνι]ον ἐξορμωμένους.
χαίροις, ἄνα]ξ Ἀμφῖον· [ἐν]τολὰς δέ σοι
Ἑρμῆς ὁ] Μαίας τ[ῶι τε σφῷν ἡττημ]ένῳ B 2 + (
πατρὸς] Διὸς κηρύ[γματ' ἀγγέλλω] φέρων.

16 δήσω βίᾳ zu kurz für die lücke, βουλῇ κτενῶ Blass 17 hier beginnt fragment C, dessen unmittelbaren anschluss Blass und Mekler nachwiesen. Lykos bestreitet die göttliche abstammung des Amphion und Zethos wie Pentheus die des Dionysos 17—20 erg. A. 21—23 erg. Wil. 25 καὶ δὴ πρόδηλοι τῶν νεανιῶν χέρες Diels 26 erg. Mah. 27 στέγα A., μέγα Wil. θανασίμῳ erg. Wil. 28 erg. Wil. 29 erg. A πόλιν glaube ich im faksimile zu erkennen 30. 31 δίκα τοι — βροτῶν Stob. Ecl. I 3, 25 30 ἔπεσεν pap., ὁποπεσοῦσ' Stob. wahrscheinlich richtig 31 ἔλαβεν pap., ἔλαθεν Stob. 37. 38 erg. Mah. 40 erg. A. 41 anf. erg. A. ἐντολὰς Mah. 42 erg. A. Das folgende zeigt, dass Hermes aufträge nicht nur an Amphion, sondern auch an Lykos auszurichten hat 43 erg. A. Von Δ nur der rechte spitze winkel sichtbar

καὶ πρ[ῶ]τα μέν σφ[ι δὴ λέγων ἄ]νθρωπος [ὡς]
οὐ Ζεὺς ἐμείχθη, [κἂν ἀ]παρνῆται τάδε —
τί δῆτ' ἄν εἶ[πες, Ζεὺς ὃ μ]ᾶλλον ἤχθετο,
Ζηνὸς μολοῦσα⟨ν⟩ λέ[κτρον ὧδ'] ἀ[τι]μάσας.
ἐπεὶ δ' ὁρίζει καὶ δ[ύσοιστά σφιν] κακὰ
αὐτή τε, δεινὴ [τῶνδ' ἐπῆλθεν] ἀλλαγὴ
παῖδάς τε τούσδ' [ἔδειξε]ν ὄντας ἐκ Διός.
ὧν χρή σ' ἀκούειν [καὶ χθον]ὸς μοναρχίαν
ἑκόντα δοῦναι [σύν γε] Καδμείοις, ἄναξ.
ὅταν δὲ θάπτῃς ἄλοχον, εἰς πυρὰν τιθεὶς
σαρκῶν ἀθροίσας τῆς ταλαιπώρου φύσιν
ὀστᾶ πυρώσας Ἄρεος εἰς κρήνην βαλεῖν,
ὡς ἂν τὸ Δίρκης ὄνομ' ἐπώνυμον λάβῃ
κρήνης [ἀπό]ρρους, ὃς δίεισιν ἄστεως
πεδία τ[ὰ Θήβ]ης ὕδασιν ἐξάρδων ἀεί.
ὑμεῖς δ', [ἐπε]ιδὰν ὅσιος ᾖ Κάδμου πόλις,
χωρεῖτε, [παῖδε]ς, ἄστυ δ' Ἰσμηνὸν πάρα
ἑπτάσ[τομ]ον πύλαισι[ν] ἐξαρτύετε.
σὺ μὲν [φύλατ]τε πνεῦμα πολέμιον λαβών·
Ζήθωι [τάδ' εἶ]πον· [τ]ὴν[ἐμὴ]ν δ' Ἀμφίονι
λύραν κ[ελεύ]ω δ[ιὰ] χερῶν ὡπλισμένον
μέλπειν θεοὺ[ς ὠι]δαῖσιν· ἕξονται δέ σοι
πέτραι τε [πρ]υμναὶ μουσικῆι κηλούμεναι
δέν[δρη] τε, μητρὸς ἐκλιπό[ντ]α ἑδώλια·
ὥστ' εὐμ[άρεια]ν τεκτόνων θήσει χερί.
Ζεὺς τήνδε τιμήν, σὺν δ' ἐγὼ δίδωμί σοι,
οὕπερ τόδ' εὕρημ' ἔσχες, Ἀμφίων ἄναξ.

---

44 erg. A. σφι hier sing. = αὐτῇ. Da σφῶν μητρί unmöglich ist, kann nur σφι(ν) hier gestanden haben στερωπ . ος las Mahaffy 45 ἀ]παρνήσηι las Mahaffy, ἀπαρνῆται Blass 46 erg. A. αλλον δ . . θετο las Mah.; ich glaube im faksimile ἤχθετο zu erkennen 47 erg. A. σαλε pap. am versende las Blass: πρα . . γαρας, von welcher lesung meine konjektur ἀτιμάσας die sicher gelesenen buchstaben beibehält 48 erg. A. σφιν wie in v. 44 49 αὐτή τε d. h. καὶ ἡ Δίρκη (ἡ δέσποινα) erg. A. 50—52 erg. Blass und Mekler 57—59 erg. Mah. 60 παῖδες erg. Wil. Ἰσμηνὸν Wil., Ἰσμηνου pap. 61 erg. Mah. 62. 63 erg. A. τὴν ἐμὴν: Mah. gibt πον . νσυ . . ν. Vgl. 70 64. 65 erg. Diels (der ὡπλισμένῳ schreibt) 66 τε πρυμναὶ erg. A., τέρεμναι Diels, υ im faks. sichtbar 67 ἐκλιποῦσα pap. 68 erg. Wecklein

λευκὼ δὲ πώλω τὼ Διὸς κεκλημένοι
τιμὰς μεγίστας ἕξετ' ἐν Κάδμου πόλει.
καὶ λέκτρ' ὁ μὲν Θηβαῖα [λήψ]εται γάμων,
ὁ δ' ἐκ Φρυγῶν κάλλιστον [εὐ]ναστήριον,
τὴν Ταντάλου παῖδ'. ἀλλ' [ὅσ]ον τάχιστα χρὴ
σπεύδειν θεοῦ πέμψαντος οἷα βούλεται.
(Λύκος) ὦ πόλλ' ἄελπτα Ζεῦ τιθεὶς καθ' ἡμέραν,
ἔδειξας [ἔργῳ] τάσδ' ἀβουλίας ἐμὰς
ἐς σφ[ὼ γένει] δοκοῦντας οὐκ εἶναι Διός.
πάρεστε καὶ ζῆτ'· ηὗρε μηνυτὴς χρόνος
ψευδεῖς μὲν ἡμᾶς, σφῶν δὲ μητέρ' εὐτυχεῖν.
ἴτε νῦν, κρατύνετ' ἀντ' ἐμοῦ τῆσδε χθονὸς
λαβόντε Κάδμου σκῆπτρα· τὴν γὰρ ἀξίαν
σφῷν προστίθησιν Ζεὺς ἐγώ τε σὺν Διΐ.
Ἑρμῆ[ι δὲ πεισθεὶς Ἄρε]ος εἰς κρήνην [β]αλῶ
γυναῖκα θάψας, τῆσ[δ' ἵν' ὑγρ]αίνουσα γῆς
νασμοῖσι τέγγηι πεδία Θηβαίας χθονός,
Δίρκη πρὸς ἀν[δρ]ῶν ὑστέρων κεκλημένη.
λύω δὲ νείκη καὶ τὰ πρὶν πεπραγμένα —

ΕΥΡΙΠΙΔΟΥ ΚΡΗΤΕΣ

(Aufführungszeit unbekannt)

(Berl. Klassikert. V 2, 73)

(Χο.) οὐ γάρ τιν' ἄλλην φημὶ τολμῆσαι τάδε·
σὺ δ' ἐκ κακῶν, ἄναξ,

---

73 λήψεται A. 74 [εὐ]ναυστηριον pap. 78 ἔργῳ erg. Diels, εἰς φῶς Blass 79 ἐς σφρα bezeugt Mah. Man erwartet etwa: εἰ σφὼ θανεῖν δοκοῦντες οὐδ' εἶναι Διός 85 erg. Wil. 86 erg. Starkie Minos hat durch das wunderbare erscheinen des von Poseidon gesendeten stiers die königsherrschaft in Kreta erlangt, aber diesen stier nicht, wie er gelobt hatte, dem Poseidon geopfert. Zur strafe hierfür wird Pasiphaë, Minos' gattin, von liebesleidenschaft zu dem stier ergriffen, lässt sich, in eine von Daidalos gefertigte hölzerne kuh eingeschlossen, von dem stier bespringen und gebiert den Minotauros. Unser bruchstück setzt voraus, dass durch auffindung des Minotauros Pasiphaë ihres verbrechens überführt ist. Sie sucht sich vor dem könig zu rechtfertigen, indem sie ihm die ganze schuld zuschiebt, und wird samt ihrer helferin (amme?) ins gefängnis abgeführt. Der aus mysten des idäischen Zeus bestehende chor nimmt für sie partei 1 οὐ γάρ τιν' ἄλλην d. h. die amme(?) der Pasiphaë. v. 47 τὴν ξυνεργὸν τήνδε 2 verderbt. Wilam.: σὺ δὲ ⟨κακὸν⟩ ἐκ κακῶν

φρόντισον εὖ καλύψαι.

Πασιφάη Ἀρνουμένη μὲν οὐκέτ' ἂν πίθοιμί σε·
πάντως γὰρ ἤδη δῆλον ὡς ἔχει τάδε.
ἐγ[ὼ] γὰρ εἰ μὲν ἀνδρὶ προὔβαλον δέμας
τοὐμὸν λαθραίαν ἐμπολωμένη Κύπριν,
ὀρθῶς ἂν ἤδη μάρ[γο]ς οὖσ' ἐφαινόμην.
νῦν δ', ἐκ θεοῦ γὰρ προσβολῆς ἐμηνάμην,
ἀλγῶ μέν, ἐστὶ δ' οὐχ ἑκο[ύσ]ιον κακόν·
ἔχει γὰρ οὐδὲν εἰκός· ἐς τί γὰρ βοὸς
βλέψασ' ἐδήχθην θυμὸν αἰσχίστηι νόσωι;
ὡς εὐπρεπὴς μὲν ἐν πέπλοισιν ἦν ἰδεῖν,
πυρσῆς δὲ χαίτης καὶ παρ' ὀμμάτων σέλας
οἰνωπὸν ἐξέλαμπε περ[καί]νων γένυν;
οὐ μὴν δέμας γ' εὖρ[υθμόν ἐστι ν]υμφίου.
τοιῶνδε λέκτρω[ν εἵνεκ' εἰς] πεδοστιβῆ
ῥινὸν καθέρ[ξ]ασ[θαί με σῶμ' ὅδ' οἴε]ται.
ἀλλ' οὐδὲ παίδων φ[ύτορ' εἰκὸς ἦν] πόσιν
θέσθαι· τί δῆτα τῆι[δ' ἐμαι]νόμην νόσωι;
δαίμων ὁ τοῦδε κἄμ' ἐ[νέπλησεν κα]κῶν,
μάλιστα δ' οὗτος οἷς ἔ[δρασ' ἄναγνος] ὤν·
ταῦρον γὰρ οὐκ ἔσφαξ[εν ὡς κατηύ]ξατο
ἐλθόντα θύσειν φάσμα [πο]ντίω[ι θε]ῶι.
ἐκ τῶνδέ τοί σ' ὑπῆλθ[ε κἀ]πετείσ[ατο]
δίκην Ποσειδῶν, ἐς δ' ἔμ' ἔσκηψ[εν πάθος].
κἄπειτ' ἀϋτεῖς κἀπιμαρτύρηι θεοὺς
αὐτὸς τάδ' ἔρξας καὶ καταισχύνας ἐμέ;

---

3 φρονησον pap., verb. Wilam. 7 vgl. Eubulos b. Athen. 569a: καὶ μὴ λαθραίαν Κύπριν αἰσχίστην νόσον πασῶν διώκειν 15 Wilam.: περκαίνων. Vgl. Hesych. περκαίνειν· διαποικίλλεσθαι 16 erg. Wilam. 17 erg. Wil. 18 Wilam.: καθείσ[η σῶμα Κύπρις ἄχθε]ται. (Nur καθισ sei erkennbar, die weiteren zeichen von der rückseite durchscheinend). Schmidt W. f. kl. Ph. 1908 liest καθερψ . . . Ich lese im faksim.: καθερ . ασ . . Danach ergab sich obige ergänzung 19 παίδων φ[ύτορ' εἰκὸς ἦν] Wilam., παίδων χρ[ῆν ἕκατί νιν] Schmidt. Was auf παίδων folgte, im faksim. ganz unsicher 20—26 erg. Wilam. 20 δηταντηι pap., verb. Wilam. 27 ἀϋτεῖς καὶ σὺ μαρτύρηι pap., verb. Wilam.

κἀγὼ μὲν ἡ τεκοῦσα κοὐδὲν αἰτία
ἔκρυψα πληγὴν δαίμονος θεήλατον,
σὺ δ', εὐπρεπῆ γὰρ κἀπιδείξασθαι καλά,
τῆς σῆς γυναικός, ὦ κάκιστ' ἀνδρῶν φρονῶν,
ὡς οὐ μεθέξων πᾶσι κηρύσσεις τάδε;
σύ τοί μ' ἀπόλλυς· σὴ γὰρ ἡ 'ξ[αμ]αρτία,
ἐκ σοῦ νοσοῦμεν. πρὸς τάδ' εἴτε ποντίαν
[ῥίπτειν] δοκεῖ σοι, [ῥῖπτ']· ἐπίστασαι δέ τοι
μιαίφον' ἔργα καὶ σφαγὰς ἀνδροκτόνους·
εἴτ' ὠμοσίτου τῆς ἐμῆς ἐρᾷς φαγεῖν
σαρκός, πάρεστι, μὴ λίπῃς θοινώμενος.
ἐλεύθεροι γὰρ κοὐδὲν ἠδικηκότες
τῆς σῆς ἕκατι ζημ[ία]ς θ[α]νούμεθα.
Χο. πολλοῖσι δῆλον [ὡς θεήλατον] κακόν
τόδ' ἐστίν· ὀργῆ[ι μὴ λίαν εἴξη]ις, ἄναξ.
(Μίνως) ἆρ' ἐστόμωται μ[. . . . .] βοᾷ;
χωρεῖτε, λόγχη [. . . . . ο]υμένη,
λάζυσθε τὴν πανο[ῦργον, ὡ]ς καλῶς θάνῃι,
καὶ τὴν ξυνεργὸν [τήνδε, δ]ωμάτων δ' ἔσω
[ἄγο]ντες αὐτὰς ἕρ[ξαθ', ἵνα σωτ]ήριον
[οὐ μ]ηκέτ' εἰσίδ[ωσιν ἡλίου κ]ύκλον.
(Χο.) [ἄ]ναξ, ἐπίσχ[ες· φρο]ντί[δος] γὰρ ἄξιον
τὸ πρ[ᾶγ]μα· [νηλ]ὴς δ' ο[ὔτις εὔβουλος βροτῶν.
(Μίν.) κ . . . . . μὴ ἀναβάλλεσθαι δίκην

---

31 ich interpungiere nach καλά; denn τῆς σῆς γυναικός 32 ist von τάδε 33 abhängig. 34 erg. Wilam. 36 κτείνειν δοκεῖ σοι, κτεῖν' pap., verb. Wilam. 41 ζημ[ία]ς θ[α]νούμεθα Wil., ζημ . . σονουμεθα: pap. 42 erg. Wil., vgl. 30, Orestes v. 2 οὐδὲ πάθος οὐδὲ συμφορὰ θεήλατος 43 erg. Wilam. 44 στομοῦν τινα vom stählen oder schärfen des eisens auf den mund einer person übertragen = „beredt machen" Ar. Wolken 1108 f., Soph. Oed. Kol. 795, Kallias Frg. Com. II p. 741. Vielleicht: ἆρ' ἐστόμωται μ⟨ἄλλον, ἡλίκον⟩ βοᾷ 45 da λόγχη kollektiv als anrede an die trabanten undenkbar ist (vgl. Wil. z. d. St.), vermute ich etwas wie: λ. τοῖς μέλει κρατουμένη 46 καλῶς vor dessen änderung in κακῶς Wil. warnt, ist hohn auf den schluss ihrer rede v. 40 48. 49 erg. Radermacher (nur ὡς für ἵνα) 51 νηλής zweifelhaft 52 κ⟨ράτιστον οἶμαι⟩ μὴ würde die lücke ausfüllen.

PARODOS DER 'KRETER'

Φοινικογενοῦς [παῖ τῆς Τυρίας]
τέκνον Εὐρώπης
καὶ τοῦ μεγάλου Ζηνός, ἀνάσσων
Κρήτης ἑκατομπτολιέθρου·
ἦκω ζαθέους ναοὺς προλιπών,
οὓς αὐθιγενὴς τμηθεῖσ' ἀν' ὄρος
στεγανοὺς παρέχει Χαλύβῳ πελέκει
καὶ ταυροδέτῳ κολληθεῖσ' (εἰς)
ἀτρεκεῖς ἁρμοὺς κυπάρισσος.
ἁγνὸν δὲ βίον τείνω μὲν ἀφ' οὗ
Διὸς Ἰδαίου μύστης γενόμην
καὶ νυκτιπόλου Ζαγρέως βιοτάς,
τάς τ' ὠμοφάγους δαῖτας τελέσας
μητρί τ' ὀρείᾳ δᾷδας ἀνασχὼν
μετὰ κουρήτων
βάκχος ἐκλήθην ὁσιωθείς.
πάλλευκα δ' ἔχων εἵματα φεύγω
γένεσίν τε βροτῶν καὶ νεκροθήκας
οὐ χριμπτόμενος τήν τ' ἐμψύχων
βρῶσιν ἐδεστῶν πεφύλαγμαι.

ΕΥΡΙΠΙΔΟΥ ΜΕΛΑΝΙΠΠΗ Η ΣΟΦΗ

(aufgeführt vor 411)

Ἡ δὲ τῆς Σοφῆς Μελανίππης (scil. ὑπόθεσις) αὕτη· Ἕλληνος τοῦ Διὸς Αἴολος τεκνωθεὶς ἐκ μὲν Εὐρυδίκης ἐγέννησε Κρηθέα καὶ Σαλμωνέα καὶ Σίσυφον, ἐκ δὲ τῆς Χείρωνος θυγατρὸς Ἵππης (vielmehr: Ἱππουῦς) κάλλει δια-

Porph. de abstin. IV 19 λέγουσι δ' οἱ κατὰ τὸν χορὸν πρὸς τὸν Μίνω 1 παῖ — Τυρίας athetiert Bothe 3 Ζανὸς Porph. 5—9 Erotian. gloss. Hippocr. s. ἀτρεκέως ‚ἦκω — ἁρμούς' 6 τμηθεῖσ' ἀν' ὄρος A., τμηθεῖσα δορός Porph., τμηθεῖσα δοκὸς Scaliger. Besser stünde στεγανοὺς παρέχει vor τμηθεῖσ' ἀν' ὄρος 8 εἰς ergänzt A., κολληθεὶς Erotian., κρηθεῖσ' Porph. 9 κυπάρισσος Bentley, κυπαρίσσου Porph. 10 τείνω μὲν ἀφ' οὗ A., τείνομεν ἐξ οὗ Porph. 12 καὶ μὴ Porph., μὴ tilgte Rhoer βιοτάς ed. Valent., βροτὰς cod. Lips, βούτας Diels 13 missverständnis dieses verses b. Hesych 4 p. 324 ὠμοφάγους δαῖτας· τοὺς τὰ ὠμὰ κρέα μερίζοντας καὶ ἐσθίοντας (Hesych. I p. 455 δαίτας· μεριστάς) 14 ὀρείᾳ δᾷδας ed. Valent., ὀριοδᾶδας cod. Porph. 15 μετὰ κουρήτων Wil. καὶ κουρήτων Porph. 18 νεκροθήκας Wecklein, νεκροθήκης Porph.

φέρουσαν Μελανίππην. αὐτὸς μὲν οὖν φόνον ποιήσας ἐπ' ἐνιαυτὸν ἀπῆλθε φυγάς, τὴν δὲ Μελανίππην Ποσειδῶν διδύμων παίδων ἔγκυον ἐποίησεν. ἡ δὲ διὰ τὴν προσδοκίαν τῆς τοῦ πατρὸς παρουσίας τοὺς γεννηθέντας εἰς τὴν βούστασιν ἔδωκε τῇ τροφῷ θεῖναι κατὰ τὴν ἐντολὴν τοῦ κατασπείραντος. ὑπὸ τὴν κάθοδον δὲ τοῦ δυνάστου τὰ βρέφη τινὲς τῶν βουκόλων φυλαττόμενα μὲν ὑπὸ τοῦ ταύρου, θηλαζόμενα δὲ ὑπὸ μιᾶς τῶν βοῶν ἰδόντες ὡς βουγενῆ τέρατα τῷ βασιλεῖ προσήνεγκαν. ὁ δὲ τῇ τοῦ πατρὸς Ἕλληνος γνώμῃ πεισθεὶς ὁλοκαυτοῦν τὰ βρέφη κρίνας Μελανίππῃ τῇ θυγατρὶ προσέταξεν ἐνταφίοις αὐτὰ κοσμῆσαι. ἡ δὲ καὶ τὸν κόσμον αὐτοῖς ἐπέθηκε καὶ λόγον εἰς παραίτησιν ἐξέθηκε φιλότιμον. προλογίζει Μελανίππη καὶ λέγει ταῦτα ἐν προοιμίοις. *(Ueberliefert mit dem Prolog.)*

PROLOG (bei Johannes Logothetes entdeckt durch H. Rabe Rhein. Mus. 63, 146)

(Μελ.) Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
Ἕλλην' ἔτιχθ', ὃς ἐξέφυσεν Αἴολον·
οὗ χθών, ὅσην Πηνειὸς Ἀσωποῦ θ' ὕδωρ
ὑγροῖς ὁρίζον ἐντὸς ἀγκῶσι στέγει,
σκήπτρων ἀκούει πᾶσα καὶ κικλήσκεται
ἐπώνυμος χθὼν Αἰολὶς τοὐμοῦ πατρός.
ἓν μὲν τόδ' ἐξέβλαστεν Ἕλληνος γένος.
πτόρθον δ' ἀφῆκεν ἄλλον εἰς ἄλλην πόλιν
κλεινὰς Ἀθήνας Ξοῦθον, ᾧ νύμφη ποτὲ
θυγάτηρ Ἐρεχθέως Κεκροπίας ἐπ' αὐχένι
Ἴων' ἔτικτεν. ἀλλ' ἀνοιστέος λόγος
ὄνομά τε τοὐμὸν κεῖσ', ὅθενπερ ἠρξάμην.
καλοῦσι Μελανίππην (με), Χείρωνος δέ με
ἔτικτε θυγάτηρ Αἰόλῳ. κείνην μὲν οὖν
ξανθῇ κατεπτέρωσεν ἱππείᾳ τριχὶ
Ζεύς, οὕνεχ' ὕμνους ἥδε χρησμῳδὸς βροτοῖς
ἄκη πόνων φράζουσα καὶ λυτήρια.
πυκνῇ θυέλλῃ δ' αἰθέρος διώκεται
μουσεῖον ἐκλιποῦσα Κώρυκόν τ' ὄρος.

---

1 Ζεὺς — ἔτικτε = fr. 481 Nk 4 ὁρίζων Joh. Logoth. (Rh. Mus. 63, 146) 11 ἀλλ' ἀνοιστέος λόγος = Nauck Frag. Trag. Eur. inc. 970 12 τὸ ἐμὸν und ἠρξάμην Joh., verb. Rabe 13 με erg. Rabe 16 χρησμωδοὺς Joh., verb. Bücheler

νύμφη δὲ θεσπιῳδὸς ἀνθρώπων ὕπο
Ἱππὼ κέκληται σώματος δι' ἀλλαγάς.
μητρὸς μὲν ὧδε τῆς ἐμῆς ἔχει πέρι.
(εἶτα λέγει καὶ ὅτι Ποσειδῶνι μιγεῖσα τέτοκε τοὺς διδύμους παῖδας)

FRAGMENTE DER MELANIPPH H SOFH

1. Ζεὺς ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα πλὴν λόγῳ

---

2. ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι·
αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω·
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.

---

3. ἦ πρῶτα μὲν τὰ θεῖα προὐμαντεύσατο
χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ' ἀντολαῖς.

---

4. κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα,
ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία·
ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα,
τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος,
δένδρη, πετεινά, θῆρας οὕς θ' ἅλμη τρέφει
γένος τε θνητῶν.

---

21 ἱππο und διαλλαγαῖς Joh., verb. Brinkmann **1.** Fr. 480 Nk. Plut. Amator. c. 13, 4 p. 756 C: ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης ἐκείνης ‚Ζεὺς ⟨ὅστις ὁ Ζεὺς⟩, οὐ γὰρ οἶδα πλὴν λόγῳ'· μεταλαβὼν δὲ χορὸν (so Sauppe für δι' ἐχθρὸν) ἄλλον — ἐθάρρει ⟨γὰρ⟩, ὡς ἔοικε, τῷ δράματι γεγραμμένῳ πανηγυρικῶς καὶ περιττῶς — ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται ‚Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο'. Vollständig haben den vers Lucian. Jupiter trag. 41, Justinus de monarchia c. 5 Nk λόγῳ κλύων einige Lucianhdschr. **2.** Aristophanes Lysistr. 1124. Fr. 483. Schol. ad 1125: ὁ στίχος ἐκ σοφῆς Μελανίππης Εὐριπίδου. Nauck meint, dass alle vier verse euripideisch sind oder wenigstens an Eur. sich anlehnen 1 μοῦσα δ' ἐστί μοι Suid. s. μουσωθῆναι **3.** Clemens Strom. I p. 361. Fr. 482 Nk. Clem.: μαρτυρεῖ καὶ Εὐριπίδης περὶ τῆς Ἱππούς ὧδέ πως· ‚ἦ πρῶτα — ἐπανατολάς'. Aehnlich Cyrill. c. Iulian. IV p. 134 B 2 so Cyrill, χρησμοῖσιν ἥ δ' ἀστέρων ἐπανατολὰς Clemens **4.** Dionys. Hal. Rhet. 9, 11. Fr. 484 Nk. 1 die worte: οὐκ ἐμὸς ὁ μῦθος zitiert Plato Symp. p. 177 A und viele andere (s. Nauck Frag. Trag.). — Diese rede meint Aristot. Poët. 15 p. 1454^{a} 31 παράδειγμα τοῦ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ἡ τῆς Μελανίππης ῥῆσις

5. περιερχομένη γὰρ (scil. ἡ Μελανίππη) πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία λέγει· „εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις."

---

6. ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός.

---

7. δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας
ἐξαρκέσειεν οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ δίκη
ἐνταῦθά ποὔστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.

ΕΥΡΙΠΙΔΟΥ ΜΕΛΑΝΙΠΠΗ Η ΔΕΣΜΩΤΙΣ

(aufgeführt vor Eupolis' 'Demoi' d. h. vor 413)

Hygin. fab. 186. Melanippen Desmontis filiam sive Aeoli, ut alii poëtae dicunt, formosissimam Neptunus compressit, ex qua procreavit filios duos. Quod cum Desmontes rescisset, Melanippen excaecavit et in munimento conclusit, cui potum atque cibum exiguum praestari iussit, infantes autem feris proiici. qui cum proiecti essent, vacca lactens veniebat ad infantes et ubera praestabat; quod cum armentarii vidissent, tollunt eos, ut educarent. Interim Metapontus rex Icariae a coniuge Theano petebat, ut sibi liberos procrearet aut regno cederet. Illa timens mittit ad pastores, ut infantem aliquem explorarent, quem regi subderet. Qui miserunt duos inventos, ea regi Metaponto pro suis supposuit. Postea autem Theano ex Metaponto peperit duos. Cum autem Metapontus priores

---

5. Dionys. Hal. Rhet. 9, 11. Fr. 485 Nk **6.** Schol. Arist. Ran. v. 100. Fr. 487 Nk. Zu Aristoph. Ran. v. 100 (311) ‚αἰθέρα Διὸς δωμάτιον' bemerkt der Scholiast ἐκ Μελανίππης (Σοφοκλέους einige hdschr., verderbt aus σοφῆς) „ὄμνυμι — Διός'. Arist. Thesmoph. 272: ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός. (Schol.: ἐκ τῆς Μελανίππης Εὐριπίδου) **7.** Stob. Ecl. 1, 3, 14a p. 54, 13 W. Fr. 506 Nk. Lemma: Εὐρ. Μελανίππῃ. Es gehört in die Σοφή. Melanippe widerlegt die annahme, dass das τέρας göttlichen zorn über eine sünde des hauses anzeige 4 ὁ πᾶς ἂν Grotius, ὁ πᾶς οὖν F, ὁπόσοῦν P

valde amaret, quod formosissimi essent, Theano quaerebat ut eos tolleret et filiis suis regnum servaret. Dies advenerat, ut Metapontus exiret ad Dianam Metapontinam ad sacrum faciendum. Theano occasionem nacta indicat filiis suis eos suppositicios priores esse: itaque cum in venationem exierint, eos cultris interficite. Illi autem matris monitu cum in montem exissent, proelium inter se commiserunt. Neptuno autem adiuvante Neptuni filii vicerunt et eos interfecerunt. Quorum corpora cum in regiam allata essent, Theano cultro venatorio se interfecit, ultores autem Boeotus et Aeolus ad pastores ubi educati erant confugerunt. Ibi Neptunus eis indicat ex se esse natos et matrem in custodia teneri. Qui ad Desmontem pervenerunt eumque interfecerunt et matrem custodia liberarunt, cui Neptunus lumen restituit. Eam filii perduxerunt in Icariam ad Metapontum regem et indicant ei perfidiam Theanus. Post quae Metapontus duxit coniugio Melanippen eosque sibi filios adoptavit, qui in Propontide ex suo nomine condiderunt Boeotus Boeotiam, Aeolus Aeoliam.

Anthol. Palat. III 16. Αἴολος καὶ Βοιωτὸς Ποσειδῶνος παῖδες ῥυόμενοι ἐκ δεσμῶν τὴν μητέρα Μελανίππην·

Αἴολε καὶ Βοιωτέ, σοφὸν φιλομήτορα μόχθον
πρήξατε μητέρ᾽ ἑὴν ῥυόμενοι θανάτου·
τοὔνεκα γὰρ καὶ _ ∪ πεφήνατε ἄλκιμοι ἄνδρες
ὃς μὲν ἀπ᾽ Αἰολίης, ὃς δ᾽ ἀπὸ Βοιοτίης.

BOTENREDE aus Pap. Berol. 5514 (Berl. Klassikertexte V 2 s. 85)

(Ἄγγελος) „τίς ἦν ὁ κ[ωφὸν τόδε βέλος μ]εθεὶς ἐμοί;“
ὡς δ᾽ οὐκ ἐφαινόμεσθα, σῖγα δ᾽ εἴχομεν,
πρόσω πρὸς αὐτὸν πάλιν ὑποστρέψας πόδα

Theano, die gattin des königs Metapontos, hat ihre beiden brüder angestiftet, den Boiotos und Aiolos, die söhne des Poseidon und der Melanippe, die von ihrer mutter einst ausgesetzt und von Theano dem gemahl gegenüber für ihre eigenen söhne ausgegeben und auferzogen worden waren, auf der jagd durch hinterlistigen überfall zu töten. Der bote, der gegen ende der tragödie der Theano von diesem überfall und seinem unerwarteten ausgang bericht gibt, ist ein diener eines ihrer brüder 1 erg. Weil, der τυφλὸν schreibt. τὰ[ργὸν Wilam. τίς ἦν ὡ /\ perg. — Boiotos, den der bote hier redend einführt, glaubt, das geschoss, das ihn beinahe getroffen hätte, sei von einem der jäger auf den eber abgeschossen worden

χωρεῖ δρομαίαν, θῆρ᾽ ἑλεῖν πρόθυμος ὤν·
βοᾷ δέ· κἀν τῶιδ᾽ ἐξεφαινόμεσθα δὴ
ὀρθοσταδὸν λόγχαισι τείνοντες φόν[ον].
τὼ δ᾽ εἰσιδόντε διπτύχοιν θείοιν κάρ[α]
ἥσθησαν εἶπόν τ᾽· „εἶα συλλαβέσθ᾽ ἄγρα[ς]·
καιρὸν γὰρ ἥκετ᾽,“ οὐδ᾽ ὑπώπτευον [δόλον]
φίλων προσώπων εἰσορῶντες ὄ[μματα].
οἳ δ᾽ εἰς τὸν αὐτὸν πίτυλον ἤπειγ[ον δορός·
πέτροι τ᾽ ἐχώρουν χερμάδες θ᾽ ἡ[μῶν πάρα
ἐκεῖθεν, οἱ δ᾽ ἐκεῖθεν· ὡς δ᾽ ἦε[ι μάχη
σιγή τ᾽ ἀφ᾽ ἡμῶν, γνωρίσαντ[ε δὴ τὸ πᾶν
λέγουσι· „μητρὸς ὦ κασίγνη[τοι φίλης],
τί δρᾶτ᾽; ἀποκτείνοντες ο[ὓς ἥκιστα χρῆν]
φωρᾶσθε. πρὸς θεῶν δρᾶτ[ε μηδαμῶς τάδε].“
σὼ δ᾽ αὐταδέλφω χερμ[∪ – ▽ – ∪ –
λέγουσί θ᾽ ὡς ἔφυσα[ν – ▽ – ∪ –
κοὐ δεῖ τυράνν[ων σκῆπτρα τοὺς νόθους λαβεῖν]
πρεσβεῖ᾽ ἔχοντ[ας δυσγενεῖς τῶν εὐγενῶν].
κἀπεὶ τάδ᾽ εἰσή[κουσαν – ▽ – ∪ –
ο]ὐ λῆμμ᾽ ἐχο[▽ – ∪ – ▽ – ∪ –
. . . . . ροσα[– ▽ – ∪ – ▽ – ∪ ▽
. . . . . συν[– ▽ – ∪ – ▽ – ∪ –
[ἔσ]φηλε τ᾽ εἰς γῆν [τὸν βίον τ᾽ ἀφεί]λετο·
ἡμῶν δ᾽ ἐχώρει κωφὰ πρὸς γαῖαν βέλη.
[δ]υοῖν δ᾽ ἀδελφοῖν σοῖν τὸν αὖ νεώτερον
[λόγ]χηι πλατείᾳ συοφόνῳ δι᾽ ἥπατος

6—10 erg. Blass 6 λόγχαις ἐπείγοντες perg., verb. Headlam 7 δίπτυχον Weil 11 ἤπειγ[ον δορός Weil 12 πάρα erg. Blass 13 μάχη erg. Weil 14 δὴ τὸ πᾶν Blass 15 erg. Blass 16. 17 erg. Weil 18 von μ nur ganz geringe spuren (Wil.). χερμ[άδ᾽ αἴρουσιν χεροῖν] erg. Blass. Die brüder der Theano führen lanzen, nur die diener warfen v. 12 mit handsteinen. Da μ unsicher ist, etwa: χερ[σί τ᾽ οὐκ ἀργοῦσ᾽ ἅμα oder ὅμως 19 ὡς ἔφυσα[ν ἐκ δούλης ποθέν] erg. Weil. Vielleicht: ὡς ἔφυσα[ν οὔ σφιν συγγενεῖς] 20 τύραννα σκῆπτρα καὶ θρόνους κρατεῖν Weil, λαβεῖν Wecklein 21 erg. Weil 22 ff. etwa: κἀπεὶ τάδ᾽ εἰσή-[κουσαν, οὐκ ἐδεισάτην | ο]ὐ λῆμ᾽ ἔχο[νθ᾽ ὁποῖον ἂν δούλοις πρέποι· | ὁ δ᾽ ἕτε]ρος α[ὐτῶν 25 nach diesem vers fehlt der rest der rectoseite. Mit 26 beginnt das verso. Doch kann die lücke nicht gross sein. 26 erg. Blass. Objekt zu ἔσφηλε nach v. 28 der ältere bruder der Theano 29 erg. Blass

[παίσ]ας ἔδωκε νερτέροις καλὸν νεκρὸν
[Βοιω]τός, ὅσπερ τὸν πρὶν ἔκτεινεν βαλών.
[κἀντεῦ]θεν ἡμεῖς οἱ λελειμμένοι φίλων
[κοῦφον] πόδ' ἄλλος ἄλλοσ' εἴχομεν φυγῇ.
[εἶδον δὲ τ]ὸν μὲν ὄρεος ὑλίμῳ φόβῃ
[κρυφθέν]τα, τὸν δὲ πευκίνων ὄζων ἔπι·
[οἳ δ' εἰς φάρ]αγγ' ἔδυνον, οἳ δ' ὑπ' εὐσκίους
[θάμνους κα]θῖζον. τὼ δ' ὁρῶντ' οὐκ ἠξίουν
[δούλους φονε]ύειν φασγάνοις ἐλευθέροις.
[τάδ' οὐκέτ' ὄντων σ]ῶν κασιγνήτων κλύεις.
[ἐγὼ μὲν οὖν οὐκ] οἶδ' ὅτῳ σκοπεῖν χρ[ε]ὼν
[τὴν εὐγένειαν· τοὺ]ς γὰρ ἀνδρείους φύσιν
[καὶ τοὺς δικαίους τῶ]ν κενῶν δοξασμάτων,
[κἂν ὦσι δούλων, εὐγεν]εστέρους λέγω.

(Χο.) . . . . . κακοῖς κακά
. . . . . χει δόμοις
. . . . . ντες σέθεν.

(Θεανώ) . . . . . εν ἐλπίδων
. . . . . ται μέγα
. . . . . αιθε . . .
. . . . . ρι. . . .

FRAGMENTE DER MELANIPPE DESMOTIS

1. τὸν δ' ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν

2. σὺν τῷ θεῷ χρὴ τοὺς σοφοὺς καινὰ στρέφειν
βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον.

30—32 erg. Blass 32 λελιμμενοι perg. 33 κοῦφον erg. Nauck 34 erg. Weil 35. 36 erg. Blass αγγας δυνον perg., verb. Weil 37 θάμνους Nauck 38 erg. Blass 39 τοιάνδε μοῖραν Blass, τύχην τοιαύτην Nauck, μόρον τοιοῦτον Wilam. 40—43 sind bei Stob. Flor. 86, 9 vollständig erhalten: Εὐριπίδου Μελανίππης. — Das stück schloss wahrscheinlich mit den formelhaften anapästen: τοιόνδ' ἀπέβη τόδε πρᾶγμα, von denen die drei ersten buchstaben noch erhalten sind **1.** Steph. Byz. v. Βοιωτία. Fr. 489 Nk. Eustath. in Dionys. Perieg. 426 p. 178, 13 ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχεν ὡς ῥιφεὶς ἀμφὶ τοὺς βόας. Strabo VI p. 265 ἐνταῦθα δὲ (scil. ἐν Μεταποντίῳ) καὶ τὸν Μετάποντον μυθεύουσι καὶ τὴν Μελανίππην τὴν δεσμῶτιν καὶ τὸν ἐξ αὐτῆς Βοιωτόν. In die M. Demotis setzt den vers Wil. Anal. Eur. p. 190 **2.** Orion Flor. 5, 3 p. 47, 7. Fr. 490 Nk. Lemma: ἐκ Μελανίππης δεσμώτιδος Εὐριπίδου 1 σόν τοι Nauck καινὰ στρέφειν A., ἀνατρέφειν Orion, ἀναστρέφειν Schneidewin

3. ἴστω δ' ἄφρων ὢν ὅστις ἄτεκνος ὢν τὸ πρὶν
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων·
ᾧ γὰρ θεὸς δίδωσι μὴ φῦσαι τέκνα,
οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.

4. ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα
ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως
μισῶ γελοίους, οἵτινες τήτει σοφῶν
ἀχάλιν' ἔχουσι στόματα κεἰς ἀνδρῶν μὲν οὐ
τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ' εὐπρεπεῖς.

5. ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἴσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

6. μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
ψάλλει κενὸν τόξευμα καὶ λέγει κακῶς·
αἱ δ' εἰσ' ἀμείνους ἀρσένων. δείξω δ' ἐγώ.
⏑ – ∪ – ⏑ι ξυμβόλαι' ἀμάρτυρα

---

3. Stob. Flor. 76, 10. Fr. 491 Nk. Lemma: Εὐριπίδου Μελανίππῃ. Der inhalt weist auf die 'Desmotis' hin 3 τηγημοιραν Stob. cod. 4 θεὸς A., θεοὶ Stob. φῦσαι Matthiae, φῦναι Stob. 5 μάχεσθαι Conington, γλεῖσθαι SM, τλεῖσθαι A **4.** Athen. XIV p. 613 d. Fr. 492 Nk. 1 εἵνεκα Eustath. Od. p. 1837, 1, οὕνεκα Athen. 3 τήτει L. Dindorf, τι εἴ τι Athen. cod. A 4 ἀστῶν Meineke 5 ἐκπρεπεῖς od. εὐτρεπεῖς vermutet Meineke. Εὐριπίδης δ' ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη ‚ἀνδρῶν – εὐπρεπεῖς'. Es folgen b. Ath. noch $1^1/_2$ nicht zugehörige verse οἰκοῦσι δ' οἴκους — σῴζουσιν = 6 (s. 33) v. 9. 10 **5.** Stob. Flor. 69, 19. Fr. 493 Nk. Lemma: Εὐριπίδου ἐν Μελανίππῃ. Auf 'Desmotis' weist zusammenhang mit dem folgenden Fragm. Der satz v. 1 ist unvollständig. Etwa: ⟨πάσαισιν οὖν γυναιξὶν ἐκ τούτων κακὸν⟩ **6.** Pap. Berol. 9772 (Berl. Klassikertexte V 2, 125). Satyros Leb. d. Eur. fr. 39 kol. XI (Oxyr. Pap. IX 153 f.). — V. 27—29 Porph. b. Euseb. Praep. evang. X p. 466 D Εὐριπίδης δὲ ἐν Μελανίππῃ τῇ δεσμώτιδι. Stob. 69, 11 (= fr. 494 Nk). — V. 1—3 zitiert Vita Eurip. Westerm. Biogr. p. 136, 73 (= fr. 499 Nk) ἐν τῇ Μελανίππῃ. — V. 9—10 σῴζουσιν Athen. XIV p. 613 d fälschlich an fr. 4 (= fr. 492 Nk) angehängt. 2 λέγει κακῶς Berol., κακῶς λέγει Vita Eur. 3 δείξω δ' ἐγώ Berol., ἐγὼ λέγω Vita Eur. 4—7 der sinn = Arist. Eccles. 446 f. (Wil.) 4 ξυμβολαιαμαρτυρα richtige wörtteilung von Mekler

5 ⏑ – ⏑ – ⏑ – ⏑ κα οὐκ ἀρνούμεναι
. . με . . . . . χο . . . . . ἀλ]λήλας πόνους
κη . . . . . δε . . . . . ϑ . . αἰσχύνην ἔχει
. . . ανσ . . . . . το . . . ωτος ἐκβαλεῖ γυνή
νέμουσι δ' οἴκους καὶ τὰ ναυστολούμενα
10 ἔσω δόμων σῴζουσιν, οὐδ' ἐρημίᾳ
γυναικὸς οἶκος εὐπινὴς οὐδ' ὄλβιος.
τὰ δ' ἐν ϑεοῖς αὖ· πρῶτα γὰρ κρίνω τάδε·
μέρος μέγιστον ἔχομεν. ἐν Φοίβου τε γὰρ
δόμοις προφητεύουσι Λοξίου φρένα
15 γυναῖκες, ἀμφὶ δ' ἀγνὰ Δωδώνης βάθρα
φηγῷ παρ' ἱερᾷ ϑῆλυ τὰς Διὸς φρένας
γένος πορεύει τοῖς ϑέλουσιν Ἑλλάδος.
ἃ δ' εἷς τε Μοίρας τάς τ' ἀνωνύμους ϑεὰς
ἱερὰ τελεῖται, ταῦτ' ἐν ἀνδράσιν μὲν οὐ
20 ὅσια καϑέστηκ', ἐν γυναιξὶ δ' αὔξεται.
ἦ πάντα ταύτῃ τὰν ϑεοῖς ἔχει δίκης
ϑήλεια. πῶς οὖν χρὴ γυναικεῖον γένος
κακῶς ἀκούειν; οὐχὶ παύσεται ψόγος
μάταιος ἀνδρῶν οἵ τ' ἄγραν ἡγούμενοι
25 ψέγειν γυναῖκας, εἰ μί' εὑρέϑη κακή,
πάσας ὁμοίως; διορίσω δὲ τῷ λόγῳ·
τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται
γυναικός, ἐσϑλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.

7. τί τοὺς ϑανόντας οὐκ ἐᾷς τεϑνηκέναι
καὶ τἀκχυϑέντα συλλέγεις ἀλγήματα;

---

6 | με . . . . . | χο . . . . . | αλ zeilenanfänge in Sat. 7 | κη . . . . . | δε zeilenanfänge in Sat. αισχ Berol.; νην Sat. ἔχει Sat., φέρει Berol. 8 ωτος Berol.; ε]κβαλει γυνη Sat. 9 οἰκοῦσι statt νέμουσι Athen. 10 οὐδ' ἐρημίᾳ — οὐδ' ὄλβιος so Sat., . . . ἐρημίᾳ γυναικὸς οἶκος δυσπινὴς ὅ γε ὄλβιος Stob. 12 so Sat., ἃ δ' εἰς ϑεοὺς Berol. 14 δόμοις Berol., χρησμοῖς Sat. 15 δ' Berol., ϑ' Sat. Δωδωνη (ς vielleicht übergeschrieben) Berol., δωματων . . ς Sat. 16 ιερωι Berol., verbessert Wil. 18 ἀνωνύμους ϑεὰς Iph. Taur. 944. Gemeint sind familienculte der Moiren und Eumeniden (Wil.) 19. 20 ἱερὰ und ὅσια so umgestellt von Wil., ὅσια τελεῖται und ἱερὰ καϑέστηκ' Berol. 19 μενευ Berol., verbessert Wil. 20 punkt hier Raderm. 21 ἅπαντα. ταύτῃ Wil. 24 ἄγραν A., ἄγαν Berol. **7.** Stob. Flor. 124, 16. Fr. 507 Nk. Lemma:

8. ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας
στυγνόν τ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά.

9. ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος
ὁ μικρὸς εὔκρας ἐγένετ' οὐδ' ὄγκος κακόν.

10. τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν,
ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

11. παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.

12. τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.

13. δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

14. τείσασθε τήνδε· καὶ γὰρ ἐντεῦθεν νοσεῖ
τὰ τῶν γυναικῶν· οἳ μὲν ἢ παίδων πέρι
ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα τοῦτο τἄδικον

Εὐριπίδου Μελανίππης. Melanippe, vor dem Anagnorismos an die geburt ihrer söhne von einem derselben erinnert, spricht diese worte. Also 'Desmotis' 1 zitiert von Eupolis in den 'Demoi'. Hermes 47, 291 **8.** Stob. Flor. 83, 3. Fr. 500 Nk. Lemma: Εὐριπίδου Μελανίππῃ. In der 'Desmotis' mochte diese reflexion durch die grosse liebe des Metapontos zu seinen untergeschobenen söhnen veranlasst sein 1 ἄμεικτον Nauck, ἀμείλικτον Stob. cod. **9.** Stob. Flor. 94, 1. Fr. 504 Nk. Lemma: Εὐριπίδου Μελανίππῃ. Worte des hirten oder der Melanippe zu einem der beiden söhne. Also 'Desmotis' 2 εὔκρας Valckenaer, εὔκρατος Stob. ἐγένετ' οὐδ' A., ἐγένετο δ' Stob. **10.** Stob. Flor. 108, 24. Fr. 505 Nk. Stob.: Εὐριπίδου Μελανίππης. Plut. consol. ad Apoll. c. 29 p. 116 F ἐν ἄλλοις 1 προσπεσόντα Plut., τυγχάνοντα Stob. 2 ἄριστος εἶναι Plut., σοφὸν νομίζω Stob. Gedanke mit vorigem frg. verwandt **11.** Stob. Flor. 115, 5. Fr. 508 Nk. Lemma: Εὐριπίδου Μελανίππης. Worte des hirten zu Aiolos und Boiotos in der 'Desmotis'? **12.** Stob. Flor. 116, 7. Fr. 509 Nk. Lemma: Εὐριπίδου Μελανίππης. Gehört zum vorigen **13.** Stob. Flor. 62, 38. Fr. 511 Nk. Lemma: Εὐριπίδου Μελανίππης **14.** Stob. Flor. 74, 6. Fr. 497 Nk. Diese verse scheinen, aus der 'Desmotis' entnommen, auf die bestrafung der Theano zu zielen. Denn κακὴν λαβόντες, nur auf eine ehefrau passend, schliesst Melanippe aus 1 ἐντεῦθεν Elmsley, ἐνταυθοῖ Stob. 2 παίδων ὅπερ Herwerden 4 εἶτα δ' οὐ τότ' Stob., verb. Porson

πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω,
ὥστ' ἐξίτηλος ἀρετὴ καθίσταται.

15. ἴσως ἀλάστορ' οὐκ ἐτόλμησεν κτανεῖν

16. γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μέλλουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

17. ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν·
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν
δουλοῖ τὸν ἄνδρα κοὔκετ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος· αἱ δὲ διαλύσεις οὐ ῥᾴδιαι.

18. μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κῦρσαι θνητοῖσιν ἄριστον.

UNSICHER AUS WELCHER 'MELANIPPE'

1. πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος

2. ἀργὸς πολίτης κεῖνος ὡς κακός γ' ἀνήρ.

---

6 ὥστ' Elmsley, ὡς Stob. **15.** Erotian. gloss. Hippocr. p. 46, 5 s. ἀλάστορες. Bei Erotian. Beleg für ἀλάστορες = φονεῖς. Ist ἀλάστορα = Theano oder ἀλάστορε = Theano's brüder zu verstehen? Jedenfalls 'Desmotis'. Ueberliefert ἀλάστορας, doch scheint Elmsley's ἀλάστορ' unumgänglich. Oder waren es troch. Tetrameter? **16.** Stob. Flor. 70, 1, Fr. 501 Nk. Lemma: Εὐριπίδου Μελανίππης 1 ὅσαι Bergk 3 μέλλουσα A., μένουσα Stob. **17.** Stob. Flor. 70, 4. Fr. 502 Nk. Lemma: τοῦ αὐτοῦ Μελανίππῃ 1 δ' ἢ Gesner, δὴ Stob. 3 ἐν τοῖς δώμασι Stob. cod., verbessert Gesner 6 αἱ δὲ Gesn. marg., αἱ γὰρ hdschr. οὐ eingefügt von Scaliger **18.** Stob. Flor. 72, 13. Fr. 503 Nk. Lemma: Εὐριπίδου Μελανίππης **1.** Stob. Flor. 73, 10. Fr. 498 Nk. Lemma: Εὐριπίδου Μελανίππης. Worte des Aiolos in der Σοφή, nach entdeckung der verführung Melanippes? **2.** Stob. Flor. 30, 11. Fr. 512 Nk. Lemma: Εὐριπίδου Μελανίππῃ. Der vers ergibt, wie er überliefert ist, keinen befriedigenden gedanken. Für emendation und einordnung fehlen anhaltspunkte

3. παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.

ΕΥΡΙΠΙΔΟΥ ΟΙΝΕΥΣ

ARGUMENTUM

Apollod. Bibl. I 8, 5, 2. Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ —; ὡς δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς Ἄργος ἦκε πρὸς Ἄδραστον καὶ τὴν τούτου γῆμας θυγατέρα Δηϊπύλην ἐγέννησε Διομήδην. Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετ' Ἀδράστου στρατευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν· οἱ δὲ Ἀγρίου παῖδες, Θέρσιππος Ὀγχηστὸς Πρόθοος Κελεύτωρ Λυκωπεὺς Μελάνιππος, ἀφελόμενοι τὴν Οἰνέως βασιλείαν τῷ πατρὶ ἔδοσαν καὶ προσέτι ζῶντα τὸν Οἰνέα καθείρξαντες ᾐκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ Ἄργους παραγενόμενος μετ' ἄλλου κρύφα τοὺς μὲν Ἀγρίου παῖδας, χωρὶς Ὀγχηστοῦ καὶ Θερσίππου, πάντας ἀπέκτεινεν (οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόννησον ἔφυγον), τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως γήμαντι ἔδωκε, τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν. οἱ δὲ διαφυγόντες Ἀγρίου παῖδες ἐνεδρεύσαντες περὶ τὴν Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν πρεσβύτην ἀπέκτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας ἔθαψεν ἔνθα νῦν πόλις ἀπ' ἐκείνου Οἰνόη καλεῖται.

Schol. Ar. Ach. 418. γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων καὶ περιῆει ταπεινός, ἄχρις οὗ ἀπελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ ἀπέδωκε.

Hygin. fab. 175. Agrius Porthaonis filius, ut vidit Oeneum fratrem orbum liberis factum egentem regno expulit atque ipse regnum possedit. interim Diomedes Tydei filius et Deipyles Ilio devicto, ut audivit avum suum regno pulsum, pervenit in Aetoliam cum Sthenelo Capanei filio et armis contendit cum Lycopeo Agrii filio. quo interfecto Agrium egentem e regno expulit atque Oeneo avo suo regnum restituit, postque Agrius regno expulsus ipse se interfecit.

3. Stob. Flor. 52, 3. Fr. 510 Nk. Lemma: Εὐριπίδου Μελανίππῃ. Beziehung und einordnung ungewiss

ΕΥΡΙΠΙΔΟΥ ΟΙΝΕΥΣ

PROLOG

Διομήδης: ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον
Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν
Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός,
ὤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν
συνῆψε γένναν. . . . . .
– – – – – – – – – – – – – – – –
– – – – – – – – – – – – – – – –
ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην
σὺν τοῖς ἐφηβήσασι τῶν ὁλωλότων
[παισίν.]

SCENE ZWISCHEN OINEUS UND DIOMEDES

1. (Οἰν.) σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως
τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.

---

2. (Οἰν.) ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,
ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην
δώσειν ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.

---

3. (Οἰν.) [ὁ λευκός, ὥσπερ φασίν, ἄργυρος,] βροτῶν
γνώμας σκο[τώσας], ὥστε Μαγνῆτις λίθος
τὴν δόξαν ἕλκει καὶ μεθίησιν πάλιν.

1—5 Aristot. Rhet. III p. 1417a 15 ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἰκτον ἢ δείνωσιν φέρει. παράδειγμα δὲ ὁ Ἀλκίνου ἀπόλογος καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. Schol. z. d. stelle: ὁ δὲ ἐν τῷ Οἰνεῖ πρόλογος παρὰ τῷ Εὐριπίδῃ ἐστὶ τοιοῦτος „ὦν γῆς — γένναν“ 2 φυγὼν] φυτὸν schol. Eur. Suppl. 148: Τυδεὺς μὲν αἷμα συγγενὲς φεύγων χθονός 5 συνῆψε κῆδος Valckenaer, συνῆψεν εὐνήν Nauck 6. 7 Erotian. gloss. Hippocr. p. 125, 9 7 ἐφ' ἥβης παισὶ Madvig καὶ vor τῶν hdschr., getilgt von Grotius 8 παισίν fügt hinzu G. Hermann **1.** Stob. Flor. 113, 1. Galen. V p. 423 K. Fr. 563 Nk 2 so Stob.; Gal.: τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας (nach Aesch. Prom. 637) **2.** Stob. Flor. 106, 3. Fr. 564 Nk. Klage des Oineus über den Usurpator und seine söhne. Auch Sthenelos ist anwesend (ξένοι) **3.** Phot. Lex. p. 73, 12. Suid. s. v. Ἡρακλείαν λίθον. Fr. 567 Nk. Suid.: ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς Εὐρ. Οἰνεῖ. Danach v. 1 ergänzt A. 2 γνώμας σκοπῶν Phot. u. Suid., σκοτώσας A., ἐπισπῶν Hartung 3 μεθίστησιν Phot. u. Suid., verbessert Herwerden

4. (Διομ.) σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι;
(Οἰν.) οἱ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.

---

5. ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων·
κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

---

6. . . . . δυ]σπραξίας
. . . . . ν τλημόνων βροτῶν
. . . . . ν τεθνηκότα
. . . . . ων ζώντων φίλων
. . . . . ε]ὔνους ἐμοί
. . . . . μ . ι· πλήρης δ' ὅταν
. . . . . μονης
. . . . .] κακοῖς
. . . . .] ος βλέπει
. . . . . ος

SONSTIGE ZITATE

1. πυκνοῖς δ' ἔβαλλον Βακχίου τοξεύμασιν
κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
ἐγὼ 'τετάγμην ἆθλα κοττάβων διδούς.

---

2. ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.

---

3. νυνὶ δέ μοι ἐκεῖνο εἰπέ· οἰκεῖα γεωργεῖς ταῦτα ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα;
Den vers stellte Matthiae so her:
σὺ δὲ τρέφοντά ⟨νιν⟩ τρέφεις.

---

4. Aristoph. Ranae 72 mit Scholion Fr. 565 Nk. Schol.: Εὐριπίδου ἐξ Οἰνέως. Verteilung auf die personen von Herwerden **5.** Stob. Flor. 75, 3. Fr. 566 Nk. Lemma Εὐριπίδου Οἰνεῖ **6.** Hibeh Papyri I s. 21 ff. Fr. c. Dieses fragment passt gut zu einer klage des Oineus über sein unglück und seine verlassenheit **1.** Athen. XV p. 666 C. Fr. 562 Nk. Athen.: κότταβος δ' ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως· ‚πυκνοῖς — διδούς' 1 βακχείου A 3 κότταβον Casaubonus **2.** Clemens Alex. Strom. VI p. 739 P. Fr. 560 Nk. Clem.: Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησιν. **3.** Philostr. Heroic. p. 12. Fr. 561 Nk.

Hibeh Papyri I s. 21 ff.

4. (Διομ.) λαμπρὸν σί]δηρον μ[έλανι βάψαν]τες φόνῳ
. . . . .]ν ἀνεξον . . . . . ει
νῦν δή· τέλο]ς γὰρ τῶν ἐ[μ]ῶν λόγων ἔχεις·
ἐφ' ἣν ὁφηγ]εῖ πρᾶξιν [ὁ]ρμήσω ποδί,
τῶι πατραδ]έλφ[ω]ι Μελεάγρωι δ[ω]ρήματα
fr. d ὅπως γένητ[αι καὶ ἀποπληρωθῆι τάφος,
τύχηι δ' ἀγώ|νων τῶν κεκαλλιστευμ[ένω]ν
ὥσπερ τυρά|ννοις ἀνδράσιν [νομίζεται.
χοροῦ μ[έλος
ὅσον ταραγμ[ὸ]ν
ψυχαῖσιν ἐμ[βέβληκεν ὁ ξένος μολών.
ἔγωγ' ἂν [αὐτ]ὸ[ν . .
στ[έρ]γε[ιν
τίς ἐστι θ[
ὀ]χλει. [
πρ]ὸς θυ[

---

5. τί ποτ' ἄρ' ἀκοῦσαι; προ|[αν]άγοντα γὰρ [κλύω fr. g

---

4. Fr. a kol. I. Die zusammenfügung von fr. a kol. I und frg. d ist sicher, obgleich die herausgeber für frg. d v. 1 kolumnenanfang konstatieren. Die rede des Diomedes war aktschluss, das chorlied nur durch die notiz χοροῦ μέλος angedeutet. Dann hören wir personen aus der familie oder umgebung des Agrios, die durch das auftreten des ihnen unbekannten Diomedes bei den leichenspielen des Meleagros beunruhigt sind 1 erg. Radermacher 4 ὁφηγεῖ derselbe **5.** Frg. a kol. II. Die hier versuchte zusammensetzung von frg. a kol. II und frg. g empfiehlt sich, weil sich in v. 2 und v. 4 fortlaufender zusammenhang ergibt. Dagegen macht v. 1 schwierigkeit, so dass bis zu erneuter prüfung des originals die zusammensetzung zweifelhaft bleibt. Ich habe vermutungsweise personenwechsel nach v. 2 bezeichnet, nach v. 5 ist er im pap. bezeichnet. Da die verse im abstand von nicht mehr als 20—30 versen auf die erhaltenen der ersten kolumne folgten, dürften die personen hier dieselben sein. Jemand sagt das den söhnen des Agrios bevorstehende verderben voraus 1 der infinitiv konnte von einem verbum im vorigen vers abhängen: (was, soll ich annehmen, hast du erkannt,) was vernommen? προανάγοντα: das verbum kommt in der trag. sprache sonst nicht vor, aber wie man sagt ἀνάγει πομπήν oder χορόν, so könnte hier das voraussagen vieler κακά als προανάγειν bildlich bezeichnet sein

ὡς ἐκπεπλη|γμ[ένον σε μαντε[ίαις κακά.
(————)
εἶεν· τίν[ουσιν ἄ]|νδρες· ὦ φρενοβλαβεῖς,
ὅσον τάχος κ|είρουσιν ὡς κακὸν μέγα
φε[ρνὴ]ν [βίον δ' ἀπ]|εμπολῶσιν ἡδονῆς.
[ἀλλ' ἐξικνοῦμα]ι πρός σε δεξιᾶς χερός

6. ἀθῶιος ὢν . . . . . π[

οὐ μανθάνω σου τ[ὸ]ν λόγο[ν . . . . . .

ἀλλ' ὡς συνήσεις ῥᾳδίως ἐγὼ φ[ράσω.
ἐπεὶ γὰρ ἦλ]θον . . . . . φ[
εὐχῇ προχ[

ΚΡΙΤΙΟΥ Η ΕΥΡΙΠΙΔΟΥ ΠΕΙΡΙΘΟΥΣ

(aufgeführt zwischen 411 und 405)

ARGUMENT UND PROLOG bei Joh. Logothetes Rhein. Mus. 63, 145

Ἡ μὲν οὖν τοῦ Πειρίθου ὑπόθεσίς ἐστιν αὕτη. Πειρίθους ἐπὶ τῇ Περσεφόνης μνηστείᾳ μετὰ Θησέως εἰς Ἅιδου καταβὰς τιμωρίας ἔτυχε τῆς πρεπούσης· αὐτὸς μὲν γὰρ ἐπὶ πέτρας ἀκινήτῳ καθέδρᾳ πεδηθεὶς δρακόντων ἐφρουρεῖτο χάσμασιν· Θησεὺς δὲ τὸν φίλον ἐγκαταλιπεῖν αἰσχρὸν ἡγούμενος ἑκὼν εἶχε τὴν ἐν Ἅιδου ζωήν. ἐπὶ τὸν Κέρβερον δὲ Ἡρακλῆς ἀποσταλεὶς ὑπὸ Εὐρυσθέως τοῦ μὲν θηρίου βίᾳ περιεγένετο, τοὺς δὲ περὶ Θησέα χάριτι τῶν χθονίων θεῶν τῆς παρούσης ἀνάγκης ἐξέλυσε, μιᾷ πράξει καὶ τὸν ἀνθιστάμενον χειρωσάμενος καὶ παρὰ θεῶν χάριν λαβὼν καὶ δυστυχοῦντας ἐλεήσας φίλους.

Αἰακός ἔα, τί χρῆμα; δέρκομαι σπουδῇ τινα
δεῦρ' ἐγκονοῦντα καὶ μάλ' εὐτόλμῳ φρενί.
εἰπεῖν δίκαιον, ὦ ξέν', ὅστις ὢν τόπους
εἰς τούσδε χρίμπτῃ καὶ καθ' ἥντιν' αἰτίαν.

3 τίνουσιν ohne objekt absolut gebraucht, wie bei Solon 13, 29 Bgk.: ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον ὦ φρενοβλαβεῖς hat an derselben versstelle Eupolis im Marikas **6.** Fr. b. Ueber die personen und die beziehung dieses bruchstückes lässt sich nichts bestimmtes ermitteln

Ἡρακλῆς οὐδεὶς ὄκνος πάντ' ἐκκαλύψασθαι λόγον.
ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ' Ἡρακλῆς,
θεῶν (δὲ) πάντων πατρὸς ἐξέφυν Διός.
ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνῇ πρὸς λέχος
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὅπο.
ἥκω δὲ δεῦρο πρὸς βίαν, Εὐρυσθέως
ἀρχαῖς ὑπείκων, ὅς μ' ἔπεμψ' Ἄιδου κύνα
ἄγειν κελεύων ζῶντα πρὸς Μυκηνίδας
πύλας, ἰδεῖν μὲν οὐ θέλων, ἆθλον δέ μοι
ἀνήνυτον τόνδ' ὥρετ' ἐξηυρηκέναι.
τοιόνδ' ἰχνεύων πρᾶγος Εὐρώπης κύκλῳ
Ἀσίας τε πάσης ἐς μυχοὺς ἐλήλυθα.

BRUCHSTÜCKE DES 'PEIRITHUS'

1. ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον
χάσμ' εὐφήμως προχέωμεν.

---

2. σὲ τὸν αὐτοφυᾶ τὸν ἐν αἰθερίῳ
ῥόμβῳ πάντων φύσιν ἐμπλέξανθ',
ὃν πέρι μὲν φῶς, πέρι δ' ὀρφναία

6—10 Nauck Frag. trag. Eur. 591 7 θεοῦ Joh. Logoth. (Rh. Mus. 63, 145), verb. Nauck 8 κεδνὸν ἐς λέχος Dobree 11 ἔπεμψεν Joh., verb. Rabe 14 ἀνήνυστον Joh. τόνδ' ὥρετ' ἐξηυρηκέναι Stahl (Rh. Mus. 63, 626), τὸν δῶκεν ἐξηυσκέναι Joh. 15 Εὐρώπην Joh. **1.** Athen. XI p. 496 B. Fr. 592 Nk. Athen.: πλημοχόη· σκεῦος κεραμεοῦν βεμβικῶδες· — χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν καὶ ἀπ' αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας πληρώσαντες τὴν μὲν πρὸς ἀνατολὰς τὴν δὲ πρὸς δύσιν ἀνιστάμενοι ἀνατρέπουσιν ἐπιλέγοντες ῥῆσιν μυστικήν. μνημονεύει δὲ αὐτῶν καὶ ὁ τὸν Πειρίθοον γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης 2 προσχέωμεν Athen., verbessert Casaubonus **2.** Clemens Strom. V p. 717. Fr. 593 Nk. Clem.: ἐν δὲ τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς (scil. Euripides) καὶ τάδε τραγῳδεῖ ‚σὲ τὸν — ἀμφιχορεύει'. ἐνταῦθα γάρ τὸν μὲν αὐτοφυῆ τὸν δημιουργὸν νοῦν εἴρηκεν, τὰ δ' ἑξῆς ἐπὶ τοῦ κόσμου τάσσεται, ἐν ᾧ καὶ ἐναντιότητες φωτός τε καὶ σκότους. Schol. Eur. Or. 982 ‚σὲ τὸν — ἐμπλέξαντα'. Schol. Apoll. Rhod. IV 143 καὶ Εὐρ. ἐν Πειρίθῳ ‚σὲ τὸν — ῥόμβῳ' 1 αὐτοφυῆ Clem., verbessert Dindorf 2 ῥόμβῳ schol. Apoll. (Hesych. I p. 75. Eustath. in Dion. Perieg. 1134), ῥόμβῳ Euseb. P. E. XIII p. 681 B. Schol Eur. ὄμβρῳ Clem. — Widerspruch dieser verse mit der kosmologischen ansicht des Euripides und engeren anschluss an Anaxagoras sucht zu erweisen Wil. Anal. Eur. 162—165 — Vgl. Satyros 37 kol. II (s. 3 d. ausg.)

νὺξ αἰολόχρως ἄκριτός τ᾽ ἄστρων
ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.

---

3. ἀκάμας τε χρόνος πέρι γ᾽ ἀενάῳ
ῥεύματι πλήρης φοιτᾷ τίκτων
αὐτὸς ἑαυτόν· δίδυμοι τ᾽ ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν Ἀτλάντειον φρουροῦσι πόλον.

---

4. αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.

---

5. οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ᾽ ἢ ζῆν κακῶς;

---

6. τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
λόγοις δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω
ῥήτωρ ταράσσων πολλάκις λυμαίνεται.

---

7. {ὁ πρῶτος εἰπὼν} οὐκ ἀγυμνάστῳ φρενὶ
ἔρριψεν, ὅστις τόνδ᾽ ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

---

3. Clemens Strom. V p. 667. Fr. 594 Nk. Schol. Arist. Av. 179 πόλον οἱ παλαιοὶ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ ‚καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον‘. 1 πέρι γ᾽ A. (es ist fortsetzung des vorigen frg., wiederaufnahme des πέρι aus v. 3 desselben), περί γ᾽ hdschr. 5 Ἀτλάντιον hdschr., verbessert Heinsius φρουροῦσι Herwerden aus φρουρῶν schol. Av., τηροῦσι Clemens **4.** Plut. de fraterno amore 8 p. 482 A, de vitioso pudore 10 p. 533 A. Fr. 595 Nk. Als euripideisch bezeugt den vers Plut. Amator. 18 p. 763 F, herkunft aus ‘Peirithus’ de amic. multit. 7 p. 96 C ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ ‚πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας‘ (aus dem gedächtnis ungenau zitiert). Vgl. argumentum: ἑκὼν εἶχε τὴν ἐν Ἅιδου ζωήν **5.** Stob. Flor. 121, 24. Fr. 596 Nk. Lemma: Εὐριπίδου Πειρίθου **6.** Stob. Flor. 37, 15. Fr. 597 Nk. Lemma: Πειρίθου 1 δὲ Trinc., ἐστὶ SMA ἀσφαλέστερον Herwerden 3 ῥήτωρ δύναιτο und 4 λόγοις ταράσσων Stob., platztausch der anfangsworte von v. 3 u. 4 empfahl Cobet λόγος Meineke 4 σπαράσσων Valckenaer **7.** Stob. Ecl. II 8, 4 p. 153, 13 W. Fr. 598 Nk. Lemma: Εὐριπίδου Πειρίθῳ 1 ὁ πρῶτος εἰπὼν athetierte Wil. Anal. Eur. p. 165 3 Menandr. monost. 462 τοῖσιν γὰρ εὖ — τύχη. ψυχὴ statt τύχη Stob.

ΕΥΡΙΠΙΔΟΥ ΣΘΕΝΕΒΟΙΑ

(aufgeführt vor 423)

ARGUMENT UND PROLOG

bei Johannes Logothetes Rhein. Mus. 63, 147

Stheneboia: ἔστι δὲ ἡ ὑπόθεσις αὕτη. Προῖτος ἦν Ἀκάμαντος (l. Ἄβαντος) υἱός, Ἀκρισίου δ' ἀδελφός, βασιλεὺς δὲ Τίρυνθος. γήμας δὲ Σθενέβοιαν ἐξ αὐτῆς ἐγέννησε παῖδας. Βελλεροφόντην δὲ φεύγοντα ἐκ Κορίνθου διὰ φόνον αὐτὸν μὲν ἤγνισε τοῦ μύσους, ἡ γυνὴ δὲ αὐτοῦ τὸν ξένον ἠγάπησε. τυχεῖν δὲ μὴ δυναμένη τῶν ἐπιθυμημάτων διέβαλεν ὡς ἐπιθέμενον αὐτῇ τὸν Κορίνθιον· πεισθεὶς δὲ ὁ Προῖτος ἐξέπεμψεν αὐτὸν εἰς Καρίαν, ἵνα ἀπόληται· δέλτον γὰρ αὐτῷ δοὺς ἐκέλευσε πρὸς Ἰοβάτην διακομίζειν. ὁ δὲ τοῖς γεγραμμένοις ἀκόλουθα πράττων προσέταξεν αὐτῷ διακινδυνεῦσαι πρὸς τὴν Χίμαιραν. ὁ δὲ ἀγωνισάμενος τὸ θηρίον ἀνεῖλε. πάλιν δὲ ἐπιστρέψας εἰς τὴν Τίρυνθα κατεμέμψατο τὸν Προῖτον, ἀνέσεισε δὲ τὴν Σθενέβοιαν ὡς τὴν Καρίαν ἀπάξων. μαθὼν δὲ παρά του ἐκ Προίτου δευτέραν ἐπιβουλὴν φθάσας ἀνεχώρησεν. ἀναθέμενος δὲ ἐπὶ τὸν Πήγασον τὴν Σθενέβοιαν μετέωρος ἐπὶ τὴν θάλασσαν ἤρθη. γενόμενος δὲ κατὰ Μῆλον τὴν νῆσον ταύτην ἀπέῤῥιψεν. αὐτὴν μὲν οὖν ἀποθανοῦσαν ἁλιεῖς ἀναλαβόντες διεκόμισαν εἰς τὴν Τίρυνθα. πάλιν δὲ ἐπιστρέψας ὁ Βελλεροφόντης πρὸς τὸν Προῖτον αὐτὸς ὡμολόγησε πεπραχέναι ταῦτα· δὶς γὰρ ἐπιβουλευθεὶς ὑπ' ἀμφοτέρων, δίκην εἰληφέναι τὴν πρέπουσαν, τῆς μὲν εἰς τὸ ζῆν, τοῦ δὲ εἰς τὸ λυπεῖσθαι.

Βελλεροφόντης: Οὐκ ἔστιν, ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον
ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.
πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῆσχυν' ἐν δόμοισι νηπία.
τοιᾶδε Προῖτος (νῦν) ἄναξ νόσῳ νοσεῖ,
(Ἄβαντος υἱός· τῆσδε γὰρ Τιρυνθίας

1—3 Nauck Frag. Trag. Eur. 661. Schol. Ar. Ran. 1219 Σθενεβοίας δὲ ἡ ἀρχή 4. 5 Nauck frag. 662. γαυρουμένους Stob. Flor. 68, 15, τιμωμένους Joh. Logoth. zu Hermogenes περὶ μεθόδου δεινότητος Rh. Mus. 63, 147 6 νῦν erg. A., γῆς Bücheler 7—9 nach den gesetzen der eur. prologtechnik musste hier der ort der handlung genannt werden, desgl. Stheneboia, die v. 14 subjekt ist

⟨σκήπτροις ἀνάσσων ἐν δόμοις δάμαρτ' ἔχει
⟨Σθενέβοιαν, αἰσχρὰ μηχανωμένην λάθρᾳ.
ξένον γὰρ ἱκέτην τῆσδ' ἔμ' ἐλθόντα στέγης
⟨Γλαύκου μὲν υἱὸν ὄντα τοῦ Κορινθίου
⟨καὶ Βελλεροφόντην ὄνομ' ἔχειν κεκλημένον,
⟨πάτραν δὲ φεύγονθ' αἵματος μιάσματι,
λόγοισι πείθει καὶ δόλῳ θηρεύεται
κρυφαῖον εὐνῆς εἰς ὁμιλίαν πεσεῖν.
αἰεὶ γὰρ ἥπερ τῷδ' ἐφέστηκεν λόγῳ
τροφὸς γεραιὰ καὶ ξυνίστησιν λέχος,
ὑμνεῖ τὸν αὐτὸν μῦθον· „ὦ κακῶς φρονῶν,
τί ταῦτ' ἀναίνῃ; τλῆθι δεσποίνης ἐμῆς
⟨ἔρωτι δεινῷ φιλοφρόνως ὑπηρετεῖν·
κτήσει δ' ἄνακτος δώμαθ' ἓν πεισθεὶς βραχύ."
ἐγὼ δὲ θεσμοὺς Ζηνὸς ἱκεσίου σέβων
Προῖτόν τε τιμῶν, ὅς μ' ἐδέξατ' εἰς δόμους
λιπόντα γαῖαν Σισύφου φόνον τ' ἐμῆς
ἔνιψε χειρὸς αἷμ' ἐπισφάξας νέον,
οὐπώποτ' ἠθέλησα δέξασθαι λόγους
οὐδ' εἰς νοσοῦντας ὑβρίσαι δόμους ξένος
μισῶν ἔρωτα δεινόν, ὃς φθείρει βροτούς.
διπλοῖ γὰρ ⟨εἴσ'⟩ ἔρωτες ἔντροφοι χθονί·
ὁ μὲν γεγὼς αἴσχιστος αἰσχύνην φέρει,
ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.

---

10 τῆσδ' ἐπελθόντα Joh., verb. A. 11—13 beispielsweise erg. A. Die selbstvorstellung des Bellerophontes wird ebenfalls durch die prologtechnik gefordert 15 κορυφαῖον Joh., verb. Rabe 16 τόδ' ἐφέστηκε Joh., verb. Rabe 19 πείθει· τί μαίνῃ Joh., verb. A. ἀναίνεσθαι ist der treffendste ausdruck für das verhalten des B., μανία kann ihm die amme keinesfalls vorwerfen 20 erg. A. 21 κτῆσαι δ' ἄνακτος δῶμα πεισθείς τι βραχύ Joh., κτήσῃ? Rabe, verb. A. 22 θεοὺς Ζῆνά θ' ἱκέσιον Joh., verb. A. θεσμούς Rabe 24 φόνων τ' ἐμὰς ἔνιψε χεῖρας Joh., verb. A. Der plural φόνων und die konstruktion von νίπτειν in der überl. lesart sind gegen den sprachgebrauch 27 νοσοῦντος Joh., verb. Brinkmann 29 διπλοῖ γὰρ ἔρωτες ἐντρέφονται χθονί Joh., verb. Mekler. διπλοῖ γ' ἔρωτες ἐντρέφονταί ⟨πως⟩ χθονί Stahl Rh. Mus. 63, 626 30 ὁ μὲν γεγὼς ἔχθιστος εἰς Ἅιδην φέρει Joh., αἰσχύνην Stahl a. a. O. 627, αἴσχιστος A. (ἔχθιστος würde einen Gen. oder Dat. als ergänzung fordern) 31. 32 Nauck Frag. trag. Eur. 672 (Aesch. c. Timarch. 151)

⟨ζῆν⟩ οὖν νομίζω καὶ θανεῖν γε σωφρονῶν.
ἀλλ' ἐξ ἀγρῶν τῶνδ' ἀπιέναι βουλήσομαι.
οὐ γάρ με λύει τοῖσδ' ἐφήμενον δόμοις
κακορροθεῖσθαι μὴ θέλοντ' εἶναι κακόν,
οὐδ' αὖ κατειπεῖν καὶ γυναικὶ προσβαλεῖν
κηλῖδα Προίτου καὶ διασπάσαι δόμον.

BRUCHSTÜCKE DER 'STHENEBOIA'.

1. ποιητὴν δ' ἄρα
ἔρως διδάσκει κἂν ἄμουσος ᾖ τὸ πρίν.

2. πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός,
ἀλλ' εὐθὺς αὐδᾷ ‚τῷ Κορινθίῳ ξένῳ'.

3. τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἔρως
μᾶλλον πτέζει.

4. ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;

5. τίς ἄνδρα τιμᾷ ξεναπάτην;

6. ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ' ἀλ[δαί]νει βροτούς.

33 οὔκουν νομίζω Joh., verb. A. 34 ἀλλ' εἰς ἀγρὸν γὰρ ἐξιέναι Joh., verb. A. **1** Plut. Amator. c. 17 p. 762 B. Fr. 663 Nk. Plat. Symp. 196 E, Arist. Vesp. 1074 u. a. spielen auf die Stelle an. — Plut. de Pyth. orac. 20 p. 405 F ὁ δ' Εὐρ. εἰπὼν ὡς Ἔρως ποιητὴν διδάσκει, κἂν — πρίν. Quaest. conv. I 5, 1 p. 622 C μουσικὴν δ' ἄρα — πρίν **2.** Athen. X p. 427 E. Fr. 664 Nk. Athen.: τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν· διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησίν, ἐπειδὴ νομίζει τὸν Βελλεροφόντην τεθνάναι ‚πεσόν — ξένῳ'. Anspielung bei Arist. Thesmoph. 404. Hesych. s. Κορίνθιος ξένος **3.** Schol. Arist. Vesp. 111. Galen. V p. 411 K. Fr. 665 Nk. Schol. Ar.: τοιαῦτ' — ἔρως (ohne δ'). Galen.: νουθετούμενος δ' — πτέζει. Dasselbe Plut. de adul. et amico 32 p. 71 A (ohne δ'). Arist. Vesp. 111: τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ μᾶλλον δικάζει **4.** Stob. Flor. 73, 20. Fr. 666 Nk. Lemma: Εὐριπίδου Βελλεροφόντης. Der 'Stheneboia' zugewiesen von Meineke **5.** Phot. Lex. p. 309, 14. Fr. 667 Nk. Pollux III 58 ξεναπάτην δὲ Εὐρ. εἴρηκε **6.** Stob. Flor. 29, 36. Fr. 668 Nk. 1 ἂν εὐτυχῆς Badham 2 ἀλδαίνει Musgrave, ἀλγύνει Stob.

7. (Ἀλ.) πέλας δὲ ταύτης δεινὸς ἵδρυται Κράγος
ἔνθηρος, ᾗ λῃστῆσι φρουρεῖται [πόρος],
κλύδωνι δεινῷ καὶ βαρυστόνῳ βρέμων.
(Βελ.) πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.

---

8. βίος δέ· πορφυρεὺς θαλάσσιος·
οὐκ εὐτράπεζος, ἀλλ᾽ ἐπάκτιοι φάτναι.
ὑγρὰ δὲ μήτηρ, οὐ πεδοστιβής· τροφὸς
θάλασσα· τήνδ᾽ ἀροῦμεν· ἐκ ταύτης βίος
βρόχοισι καὶ πέδαισιν οἴκαδ᾽ ἔρχεται.

---

9. κομίζετ᾽ εἴσω τήνδε· πιστεύειν δὲ χρὴ
γυναικὶ μηδὲν ὅστις εὖ φρονεῖ βροτῶν.

ΕΥΡΙΠΙΔΟΥ ΥΨΙΠΥΛΗ

(aufgeführt nach 412 Andromeda)

ARGUMENTUM

Schol. Clem. Alex. p. 424, 19: ὅτε οἱ ἑπτὰ ἐπὶ Θήβας σὺν Ἀδράστῳ καὶ Πολυνείκει ἐστρατεύοντο, παρέβαλον εἰς τὴν Νεμέαν· τόπος δὲ οὗτος τοῦ Ἄργους. ζητοῦντες δὲ ὑδρεύσασθαι συνέτυχον Ὑψιπύλῃ τῇ Θόαντος θυγατρὶ τρεφούσῃ παιδίον Ὀφέλτην καλούμενον Εὐφήγου (lies Λυκούργου) καὶ Εὐρυδίκης· ἡ δὲ ἀποθεμένη τὸ παιδίον ἀπῆλθεν αὐτοῖς ὑδρεύσασθαι βουλομένη. δράκων δὲ ἐν τοσούτῳ περιπεσὼν τῷ παιδίῳ ἀνεῖλεν αὐτό. ἡ δὲ ἐπανελθοῦσα ἐθρήνει. Ἀμ-

---

7. Schol. Arist. Pac. 125. Fr. 669 Nk. Arist. a. a. O.: Κόραι Τρυγ.: καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται; ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν. Τρυγαῖος: v. 4 schol.: ὁ λόγος ἐκ Σθενεβοίας Εὐριπίδου. τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσθαι. ἔστι δὲ ἐν Σθενεβοίᾳ παρὰ τῷ τραγικῷ οὕτως ‚πέλας δὲ — πορεύσει' 1 worte des fischers (vgl. folg. frg.) Κράγος Meineke, κράτ cod. 2 ᾗ λῃστῆσι Radermacher, ᾗ λῃστὴς cod. πόρος erg. Meineke 3 βαρυστόνῳ Dindorf, βροτοστόνῳ cod., βροτοκτόνῳ Meineke βρέμων Meineke βρέμει cod. 4 der scholiast schrieb diesen vers, weil er im Aristophanestext steht, unvollständig aus. Er muss euripideisch sein, weil die vorausgehenden Aristophanesverse es offenbar nicht sind. Dann gehört er aber dem Bellerophontes **8.** Athen. X p. 421 F. Fr. 670 Nk. Ath.: ἐν Σθεν. δ' Εὐρ. περὶ εὐτελείας λέγων ‚βίος — ἔρχεται' 1 nach βίος δέ interpungiert A. πορφυρεὺς G. Hermann, πορφυροῦς Athen., πορφυρέως Lobeck, πορφυρέων Meineke 3 nach πεδοστιβής interpungiert A. 5 statt ἔρχεται würde ich ἕλκεται vorziehen **9.** Stob. Flor. 85, 6. Fr. 671 Nk. Lemma: Εὐριπίδου Σθενεβοίᾳ

φιάραος δὲ ὁ μάντις εἷς ὢν τῶν ἑπτὰ ἀπὸ τοῦ συμβάντος τοῖς Ἕλλησι θάνατον προεμαντεύσατο καὶ τὸν παῖδα Ἀρχέμορον ἐκάλεσεν. Ἄδραστος δὲ παραμυθούμενος τὴν Ὑψιπύλην ἐπ᾽ αὐτῷ τὸν Νεμεακὸν ἀγῶνα συνεστήσατο, ὃς ὕστερον τῷ Διῒ ἀνιερώθη.

Apollod. Bibl. III 6, 4: παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυκοῦργος, ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἠγήσατο τῆς ἐπὶ κρήνην ὁδοῦ Ὑψιπύλη, νήπιον παῖδα ὄντα Ὀφέλτην ἀπολιποῦσα, ὃν ἔτρεφεν Εὐρυδίκης ὄντα καὶ Λυκούργου. αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σεσωσμένον ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπημπόλησαν· διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ. δεικνυούσης δὲ τὴν κρήνην, ὁ παῖς ἀπολειφθεὶς ὑπὸ δράκοντος διαφθείρεται. τὸν μὲν οὖν δράκοντα ἐπιφανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι, τὸν δὲ παῖδα θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις τὸ σημεῖον τὰ μέλλοντα προμαντεύεσθαι· τὸν δὲ παῖδα Ἀρχέμορον ἐκάλεσαν (lies -σεν). οἱ δὲ ἔθεσαν ἐπ᾽ αὐτῷ τὸν τῶν Νεμέων ἀγῶνα.

Hygin. fab. 74: Septem ductores, qui Thebas oppugnatum ibant, devenerunt in Nemeam, ubi Hypsipyle, Thoantis filia, in servitute puerum Archemorum sive Ophelten, Lyci regis filium, nutriebat. Cui responsum erat, ne in terra puerum deponeret, antequam posset ambulare. Ergo ductores septem, qui Thebas ibant, aquam quaerentes devenerunt ad Hypsipylen eamque rogaverunt, ut eis aquam demonstraret. Illa timens puerum in terram deponere, apium altissimum erat ad fontem, in quo puerum deposuit. Quae dum aquam eis tradit, draco fontis custos puerum exedit. At draconem Adrastus et ceteri occiderunt et Lycum pro Hypsipyle deprecati sunt, ludosque puero funebres instituerunt, qui quinto quoque anno fiunt, in quibus victores apiaciam coronam accipiunt.

ΕΥΡΙΠΙΔΟΥ ΥΨΙΠΥΛΗ

[Ὑψ.] Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν —

Schol. Aristoph. Ran. 1211—13: Ὑψιπύλης ἡ ἀρχή. Nauck Fr. Trag. 752. Dass Hypsipyle den prolog spricht, nicht einer ihrer beiden söhne, darf als sicher gelten.

PAPYRUSFRAGMENTE AUS OXYRYNCHOS

Pap. Fr. I kol. 1.

(Ὑψ.) γρα . . . . . ᾳοις
ἦξε[ι δ' ἄρ' αὖθι]ς π[όλλ' ἔχων ἀ]θύρματα,
ἃ σῶν [ὀ]δυρμῶν ἐκγαλη[νιεῖ φ]ρένας.
ὑμεῖς ἐκρούσατ', ὦ νεανία[ι, πύλα]ς;
ὦ μακαρία σφῶν ἡ τεκο[ῦσ', ἥ]τις ποτ' ἦν.
τί τῶ[ν]δε μελάθρων δε[όμε]νοι προσήλθετον;
Θόας στέγ[η]ς κεχρήμεθ' [ἐ]ν[τὸς ἀ]χθῆναι, γύναι,
εἰ δυ[να]τὸν [εἴ]η νύκτ' ἐ[ναυλίσ]αι μίαν.
ἔχο[με]ν δ' ὅσων δεῖ· τ[ί] π[ο]τ'; ἀ]λύ[π]ητ[οι δό[μοις
ἐσό[μ]εσθα τοῖσδε, τὸ δὲ σὸν ὡς ἔχει μ[εν]εῖ.
(Ὑψ.) [ἀδέσ]ποτος μ[ὲν ο]ἶκ[ο]ς ἀρσένων κυ[ρε]ῖ
. . . . . δώμ[α]τα

Fr. II *(vielleicht unmittelbar an das vorige anschliessend)*

(Ὑψ.) . . μ . . . . . .
Λυκοῦρ[γος . . . . . .
γυνὴ δ[ὲ . . . . . .
Θόας οὐκ ἐν ξέ[νου δεῖ μ', ὅταν ἀπῇ, ναίειν δόμοις·
πρὸς δ' ἄ[λλον ἐνθένδ' οἶκον ἀροῦμεν πόδα.
(Ὑψ.) ἥκιστ[α . . . . . .
ξένο[. . . . . .
ἀεὶ δὲ [. . . . . .
ἀλλ' εἰς ν . . . . . .

I Pap. Oxyr. VI p. 19ff. 2 erg. A. | ἔχων) od. ἔχουσ' 3 σῶν) σὰς Wil. 5 Ion 308 (Kreusa zu Ion): ὥς σου τὴν τεκοῦσαν ὤλβισα 6 προσηλθέτην Herwerden 7 ἐντὸς ἀχθῆναι Murray 8 εἴη A., . . ν pap., ἡμῖν G. H. ἐναυλίσαι Murray, vgl. Soph. Phil. 33 9 τ . πο . . . λυπηροι pap. τί ποτε λυπηροὶ Hunt (τε fülle die lücke nach πο nicht genügend). τὸ δὲ σὸν — μενεῖ zeigt, dass keine frage vorausging. ἀλύπητοι aktivisch, τί ποτε; = „kurz", ähnlich τί ταῦτα; Hel. 991 11 ἀδέσποτος Bury, ἀπρόστατος Wil. μὲν οἶκος Bury κορεῖ Hunt **II** 1—3 Hyps. berichtet die abwesenheit des Lykurgos, vielleicht auch der Eurydike 4. 5 Thoas will' unter diesen umständen auf das obdach verzichten, erg. A. beispielshalber 6—9 Hyps. sagt, dass die fremden weiterziehen zu lassen, keineswegs dem brauch dieses hauses entspricht, das vielmehr immer, auch in abwesenheit der herrschaft, anständigen gästen obdach gewährt, und fordert sie auf einzutreten. Alc. 566 τἀμὰ δ' οὐκ ἐπίσταται μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους (Hunt)

* Galen. ἰδού, πρὸς αἰθέρ' ἐξαμίλλησαι κόρας
γραπτούς ⟨τ' ἐν αἰετ⟩οῖσι προσβλέψον τύπους.

Pap. Fr. **I** kol. 2.
(Ὑψ.)
. . . . . ο̣σ̣ο̣ι̣ (στρ. α)
. . . . . πρ]οσιδέσθαι [φῶς
συντρέ]χον, ὡς ἐνόπτρου
γλαυκ]οφαῆ τιν' αὐγάν·
αἰώραις δ'] ἄξημα τὸ σὸν
προ]κινήσω καί, τέκνον, εὐ-
ωποῖσιν θεραπείαις.
ἰδοὺ κτύπος ὅδε κροτάλων
⟨. . . . . .⟩ ἄνω
οὐ τάδε πήνας, οὐ τάδε κερκίδος
ἱστοτόνου παραμύθια Λήμνια
Μοῦσα μέλει με κρέκειν, ὅ τι δ' εἰς ὕπνον
ἢ χάριν ἢ θεραπεύματα προσφόρα
παιδὶ πρέπει νεαρῷ
τάδε μελῳδὸς αὐδῶ.

---

* ἰδοὺ — τύπους gibt Galenus vol. XVIII, 1 p. 519 K. Fr. 764 Nk. Die stelle mag hierhin d. h. hinter die erste vom papyrus gebotene scene gehören. Galen. führt die stelle als beleg für ἀετός (ἀέτωμα) in architektonischer bedeutung an 1 κόρας Hermann, κόραι Gal. 2 ἐν αἰετοῖσι ergänzte Valckenaer, τ' Nauck προσβλέψον Nauck, προσβλέπον Gal. Worte der Hyps. zu dem kinde **I** 2 α die responsion mit der strophe der Hyps. s. 51 ist zweifelhaft. Beidemal ist der anfang zerstört. Sicher respondieren v. 11—16 (19 daktylen + ithyphallicus). Um in den vorausgehenden versen responsion durchzuführen, muss man das zu v. 10 beigeschriebene ἄνω auf einen hier ausgefallenen, am oberen rande nachgetragenen vers beziehen; ferner mit der ungenauen responsion dieser polyschematischen glykoneen rechnen; drittens annehmen, dass im pap. mehrfach die kola falsch abgeteilt sind, z. B. hier in v. 3 eine hebung zum folgenden vers fälschlich gezogen war, in der ἀντιστρ. α mehrfach zum vorausgehenden. — Mit dem glanz des spiegels vergleicht wohl Hyps. die glänzenden augen des kindes. Danach habe ich v. 3—5 beispielshalber ergänzt 4 ..ρχον pap. Aber die responsion fordert eine kürze vor χον, damit das kolon, wenn auch an anderer stelle, eine zweisilbige senkung hat 6 vgl. Plato Gesetze VII p. 789 c—e: die ammen sollen die kinder viel herumtragen; durch σεισμοί und αἰῶραι wird das wachstum gefördert 7 προκινήσω καὶ A., ..μνησωμαι pap. Auch προ]μνήσωμαι ⟨καὶ⟩ wäre viell. möglich 8 ευωποισιν θεραπειαις pap., verbessert A. 13 μέλει hat hier pers. konstr. 15 cf. fr. 770 Nk: νεαρὸς ἀντὶ τοῦ νέος· Εὐριπίδης Ὑψιπύλῃ

(Χο.) τί σὺ παρὰ προθύροις, φίλα; (στρ. β)
πότερα δώματος εἰσόδους
σαίρεις ἢ δρόσον ἐπὶ πέδῳ
βάλλεις οἷά τε δούλα;
ἢ τὰν Ἀργὼ τὰν διὰ σοῦ
στόματος ἀεὶ κληζομέναν
πεντηκόντορον ἄδεις;
ἢ τὸ χρυσεόμαλλον
ἱερὸν δέρος, ὃ περὶ δρυὸς
ὄζοις ὄμμα δράκοντος
φρουρεῖ, μναμοσύνα δέ σοι
τᾶς ἀγχιάλοιο Λή-
μνου, τὰν Αἰγαῖος ἑλίσ-
σων κυμό[κ]τυπος ἀχεῖ,
δεῦρ' ὅτ' ἂν λειμῶνα Νέμει[ον]
ἀ[στρ]ά[πτ]ει χαλκέοις[ιν] ὅπλ[οις]
Ἀ[ργ]είων π[ε]δίον πᾶ[ν],
ἐπὶ τὸ τᾶ[ς] κιθάρας ἔρυμ[α
τᾶς Ἀμφιονίας {ἔργο[ν]} [δ' ἄγει
ὠκυ]πόδᾱς ἀ[δρ]α̣σ[τος ∪ – ∪ ∪
ὃ[ς ἐ]κάλεσε μένο[ς ....
ποικίλα σάματα .....
τόξα τε χρύσ[ε]α .....
κ[αὶ] μονοβάμονε[ς ....
ἀε[ι]ρόμενοι χθ[ονὸς
.....ατ....

β vgl. Phaëthon fr. 775 v. 10 καὶ γὰρ αἵδ' ἔξω δόμων | δμωαὶ περῶσιν, αἳ πατρῷον ὦριμοι | σαίρουσι δῶμα usw. Sonderbare anrede an eine frau, die ein kind auf dem arme trägt! 7 πεντηκόντερον pap. 12 νησου pap. m. pr., λημνου übergeschrieben 14 κυμοτυπος pap., verbessert Hunt. Im pap. sind die kolenschlüsse nach Λήμνου und ἑλίσσων 15 ἀνὰ statt ἂν würde dem metrum des respondierenden kolon besser entsprechen 16 ἀπάγει Hunt zweifelnd. Der rest einer senkrechten hasta vor dem zweiten α ist für π zu lang nach unten gezogen; war es z. b. ρ, so ist vor demselben noch platz für einen zweiten buchstaben; nach dem zweiten α (vor ει) γ oder π oder σ und noch ein buchstabe χαλκείοις ὅπλοις pap.; um der responsion willen geändert 17 Ἀργειον pap., verb. A. πᾶν erg. A., πα[ρείς] Wil. 19 ἔργον wahrscheinlich interpoliert; erklärung des genetivgebrauchs in τὸ τᾶς κιθάρας ἔρυμα. δ' ἄγει ergänzt A. 20 ὠκυπόδας Ἄδραστος [Ἀρηθοόν ergänzen Wil. und Hunt

kol. 3 (Ὑψ.) . . . . . ραι . (ἀντιστρ. α)
. . . . . Θ]ρᾳκίαν
. . . . . σ . μένης ὀρού-
σας ἐπ᾽ οἶδμα γαληνεί-
ας πρυμνήσι᾽ ἀνάψαι,
τὸν ἁ τοῦ ποταμοῖο παρ-
θένος Αἴγιν᾽ ἐτέκνωσε Πη-
λέα· μέσῳ δὲ παρ᾽ ἱστῷ
᾽Ασιὰς ἔλεγον ἰήϊον
Θρῇσσ᾽ ἐβόα κίθαρις Ὀρφέως
μακροπόλων πιτύλων ἐρέτῃσι κε-
λεύσματα μελπομένα, τότε μὲν ταχύ-
πλουν τότε δ᾽ εἰλατίνας ἀνάπαυμα πλά-
τας. τάδε μοι τάδε θυμὸς ἰδεῖν ἵε-
ται, Δαναῶν δὲ πόνους
ἕτερος ἀναβοάτω.

Χο. παρὰ σοφῶν ἔκλυον λόγο[υ]ς (ἀντιστρ. β)
π[ρ]ότερον ὡς ἐπὶ κυμάτων
πόλιν καὶ πατρίους δόμου[ς
Φοινίκας Τυρία παῖς
Εὐρώπα λιποῦσ᾽ ἐπέβα
Διοτρόφον Κρήταν ἱεράν,
Κουρήτων τροφὸν ἀνδρῶν·
ἃ τέκνων ἀρότοισιν
τρισσοῖσ[ιν] ἔλιπεν κρά[τος]
χώρας τ᾽ ὄλβιον ἀρχάν·

kol. 3 α geschildert wird die landung der Argo in Lemnos. Peleus ist es, der aufspringt, um die haltseile zu befestigen, während Orpheus mit seiner zither den ruderern die signale gibt 3 das participium -μένης bezog sich auf die bewegung der Argo, zu ihm gehört ἐπ᾽ οἶδμα; der infinitiv ἀνάψαι hängt von ὀρούσας ab 6 ποταμοῦ pap. 7 ἐτέκνωσεν pap., um des metrums willen geändert von Hunt 9 ἔλεγεν pap., verbessert Wil. 11—15 kolenteilung im pap.: — πιτύλων | — μελπομέναν | — ταχύπλουν | — πλάτας | — ἵεται 11 μακροπόδων Wil., μακροπόνων Wecklein 12 μελπομεναν pap., verb. Hunt 14 ἰδεῖν Pap., ὁδεῖν Wil. Kann nicht H. wünschen, noch einmal die Argo landen zu sehen, mit deren landung damals ihre glücklichste zeit begann? β 2 ποτερον pap. 5 ἄπεβα pap. 9 τρισσοῖσιν A., τρισσοις pap. (wegen des metrums geändert)

᾽Αργείαν θ᾽ ἑτέραν κλύω
[οἴ]στρῳ βασίλειαν ᾽Ι-
ὼ [πάτρ]ας ἀμφὶς ἀμεῖ-
ψαι [κερ]ασφόρον ἄταν.
[ταῦ]τ᾽ ἂν θεὸς εἰς φροντίδα θῇ σοι,
στέρξει]ς δή, φίλα, τὸ μέσον,
ἐλπὶς δ᾽ οὐκ] ἀπολείψει
ἔτι σε τὸν π]ατέρος πατέρα
ῥύσεσθαί πο]τ᾽· ἔχει σέθεν
μνῆστιν· ὅτ᾽] ὠκύπορο[ς] μετανίσσεται
. . . . . γενεα . . . .
. . . . . τος . . . .
. . . . . ως . . . .
. . . . . σφιλ . . .

---

kol. 4 Ὑψ. νεμον ἄγαγέ ποτε . .
κυναγόν τε Π[ρ]όκριν, τὰν πόσις ἔκτα,
κατεθρήνησεν ἀοιδαῖς [πόσις, ἐκ τοῦ
θάνατον ἔλαχε· τὰ δ᾽ ἐμὰ πάθεα
τίς ἂν ἢ γόος ἢ μέλος ἢ κιθάρας
ἐπὶ δάκρυσι μοῦσ᾽ ἀνοδυρομένα
μετὰ Καλλιόπας
ἐπιπονοῦσ᾽ ἂν ἔλθοι;

Χο. ᾽Ω Ζεῦ Νεμέας τῆσδ᾽ ἄλσος ἔχων,
τίνος ἐμπορίᾳ τούσδ᾽ ἐγγὺς ὁρῶ
πελάτας ξείνους, Δωρίδι πέπλων
ἐσθῆτι σαφεῖς, πρὸς τούσδε δόμους
στείχοντας ἐρῆμον ἀν᾽ ἄλσος.

12—14 kolenschlüsse im pap.: — ᾽Ιὼ | — ἀμεῖψαι |. Ergänzungen von Hunt 13 fern der heimat ist Io von ihrem unseligen hörnerschmuck befreit worden 16 στέρξεις erg. Radermacher συνιεῖς Wil. 17—19 ergänzt von Wil. 19 nach σέθεν scheint in dieser zeile nichts mehr gestanden zu haben (vgl. strophe β v. 19) 20 μνῆστιν ὅτ᾽ ergänzt A. ὥραν (zum vorigen kolon). αὐτίκα δ᾽ Hunt kol. 4 2 κυμα[τ]ον pap. τὰν — ἔκτα vom korrektor zwischen den zeilen hinzugefügt 3 πόσις ἐκ τοῦ erg. A. 4 θάνατος pap., verb. Hunt 8 επιπονουσαν pap. Niemand wird sich die mühe nehmen, ihr leiden zu besingen 10 ἐμπορίᾳ Wecklein, ἐμπορίας pap. 12 ἐσθῆστι pap.

ἈΜΦΙ- ὡς ἐχθρὸν ἀνθρώποισιν αἵ τ' ἐρημίαι,
ΑΡΑΟΣ ὅταν τε χρείαν εἰσπεσὼν ὁδοιπόρος
ἀγροὺς ἐρήμους καὶ μονοικήτους ἴδῃ,
ἄπορος, ἀνερμήνευτον ἀπορίαν ἔχων,
ὅπῃ τράπηται· κἀμὲ γὰρ τὸ δυσχερὲς
τοῦτ' εἰσβέβηκεν· ἄσμενος δ' εἶδον δόμ[ους
τούσδ' ἐν Διὸς λειμῶνι Νεμεάδος χθον[ός.
καί σ', εἴτε δούλη τοῖσδ' ἐφέστηκας δόμ[οις
εἴτ' οὐχὶ δοῦλον σῶμ' ἔχουσ', ἐρήσομαι·
τίνος τάδ' ἀνδρῶν μηλοβοσκὰ δώματ[α
Φλειουντίας γῆς, ὦ ξένη, νομίζεται;
ΥΨ. [ὅ]λβια Λυκούργου μέλαθρα κλήζεται τά[δε,
[ὃ]ς ἐξ ἁπάσης [αἱ]ρεθεὶς Ἀσωπία[ς
κληδοῦχός ἐστι τοὐπιχωρίου Διός.
ΑΜΦ. [ῥ]υτὸν λαβεῖν [χ]ρ[ήζοι]μ' ἂν ἐν κρωσσοῖς ὕδωρ,
χέρνιβα θεοῖ[ς], ἵν' ὅ[σιον] ὡς χρησαίμεθα.
στατῶν γὰρ ὑδάτων [ν]άματ' οὐ διϊπετῆ,
στρατοῦ δὲ πλήθει πάντα συνταράσσεται.
ΥΨ. [τί]νες μολόντες καὶ χ[θ]ονὸς ποίας ἄπο;
ΑΜΦ. ἐκ τῶν Μυκηνῶν [ἐσ]μὲν Ἀργεῖοι γέν[ος,
[ὅ]ρια δ' ὑπερβαίνοντες εἰς ἄλλην χθόνα
[στρ]ατοῦ πρ[ο]θῦσαι βουλόμεσθα Δαν[α]ΐδῶ[ν].
[ἡ]μεῖς [γὰρ ὡ]ρμ[ήμεσ]θα πρὸς Κάδμου πύλας,
[οἳ δὴ θεοὶ πέμποιεν ε]ὐτυχῶς, γύναι v. l. εἰ δὴ
ΥΨ. [τί δὲ στρατεύεσθ' εἴ γε] σοῦ θέμι[ς μ]αθεῖν;
ΑΜΦ. [κατάγειν θέλοντες φυγ]άδα Π[ολυνείκην πάτρας.
ΥΨ. [τίς] ὦ[ν σύ γ' ἄλλων πημον]ὰς θηρᾷ[ς λαβεῖν; Fr. III
ΑΦΜ. παῖ[δ'] Οἰκ[λέους τὸν μάντιν] Ἀμφιάρ[εων ὁρᾷς.

---

14 αἵ τ' ἐκδημίαι Wil. nach fr. 768 Nk. Ich vermute: ἀνθρώποισ' ἀεί τ' ἐρημία 17 ἄπορον Pap., ἄπορος A., ἄπολις Murray 26 εὑρεθεὶς pap., verb. Hunt 28 χρῄζοιμ' erg. Murray 29 θεοῖς, ἵν' A., θεοῖσιν Hunt ὅσιον A. (ὅσιον ὡς = ὡς ὅσιον), ὅδιον Murray χεαίμεθα Wil. 30 στρατων pap., verb. Hunt 35 erg. Hunt 36 ρμ unsicher; statt ρ eher ξ oder υ 37 οἳ δὴ A. (hierzu am rande εἰ δὴ als variante) θεοὶ πέμποιεν beispielshalber 38 erg. Bury 39 erg. Hunt 40 der anschluss von fr. III ist auch durch das aussehen des pap. gesichert 40 σὺ δ' ὧν τίς ἄλλων Hunt, danach A. πημονὰς θηρᾷς λαβεῖν Wil. 41 παῖς Οἰκλέους τοι μάντις Ἀμφιάρεως ἐγώ Hunt, daraus A.

Ὑψ. ὦ μεγαλ.....ια καὶ.....
Ἀμφ. πῶς δ' οἱ λ.....σα..... 43

Fr. IV

Ἀμφ. τί]ς ε[ἶ; .....
Ὑψ. ἡ τοῦ [Θόαντος Ὑψιπύλη πέφυκ' ἐγώ.
Ἀμφ. ὄνομα.....
Ὑψ. ἡ Λημ[νία χθὼν, παῖς ὅθ' ἦν, ἔθρεψέ με.

Fr. I kol. 5

(Ἀμφ.) γυ[νὴ στρατεῦσαί μ' οὐ θέλοντ' ἠνάγκασεν
(Ὑψ.) ὅσια φ[ρονοῦσα κἄνδικ' ἢ κέρδους χάριν;
(Ἀμφ.) ἐδέξ[ασθ' ὅρμον χερσὶ Πολυνείκους πάρα.
(Ὑψ.) πόθεν μ[ατεύσας εἶχέ νιν ποτὸν θ' ὁ δούς;
(Ἀμφ.) ἔγημ' ὁ κλε[ινὸς Ἁρμονίαν Κάδμος ποτέ. 5
(Ὑψ.) εἷς ἦν τις, ὡ[ς ἤκουσα, τῶν θεοῖς φίλων.
(Ἀμφ.) ταύτῃ δίδωσ[ιν ὅρμον ἐν γάμῳ Κύπρις.
(Ὑψ.) θεοὶ θεῶν γὰ[ρ ἄξιοι δωρημάτων.
(Ἀμφ.) Πολύδωρος οὗ[ν νιν ἔλαβεν οὐκ ταύτης γόνος.
(Ὑψ.) εἴπου θεᾶς φὺ[ς δῆλος ἦν, μάλ' εἰκότως. 10
(Ἀμφ.) τούτου δὲ παί[δων παῖς ὁ τῇ γυναικὶ δούς.
(Ὑψ.) κ]εῖ[ν' οἶ]δα τὸ [πρὸς Ἄδραστον τὰς διαλλαγάς.
(Ἀμφ.) ὃν καὶ σ[ύχ]ν' εἰπὼ[ν] ἠν[τόμην ἐὰν στόλον.
(Ὑψ.) εἰς χρησμὸν ο[ἶμαί γ' ἀναφέρων θεῖόν τινα.
(Ἀμφ.) χρὴ γὰρ στρατε[ίαν τέλος ἔχειν ταύτην πικρόν. 15
(Ὑψ.) ἐ]δέξατ' οὖν ἔ[κρινε τ' Ἄδραστον κρατεῖν;

Fr. **IV** 1 τίς εἶ; A. 2 erg. A. 4 ἡ Λημνία χθὼν Ὑψιπύλην ἔθρεψέ με Hunt **I** 5 1 στρατεύειν ἠξίωσ' ἄκοντά με Hunt 2 φρονοῦσ' ἢ καί τινος κ. Hunt 3 erg. Hunt 4 erg. A. 5 erg. Hunt 6 τις ὦ[ν καὶ θεοὶ συνῆλθον εἰς γάμους 7 δίδωσ[ιν ὅρμον Ἀφροδίτη καλόν 8 γὰ[ρ παισὶν εὐμενεῖς ἀεί Hunt 9 οὗ[ν ἐκλήζεθ' οὗς αὐτῶν γόνος Hunt 10 φὺ[ς θεῖ' ἐδέξατ' εἰκότως Hunt 11 παῖ[ς τὸν ὅρμον ἔσχε Λάβδακος Murray 12—21 von Hunt aus fr. 5 und 65 zusammengefügt, ergänzt A. (12 ει . fr. 5; δατο fr. 65 13 ὃν καὶ σ fr. 5; ειπο
νην fr. 65 14 εἰς χρη fr. 5; σμονο fr. 65 15 χρὴ γὰρ fr. 5; στρατε fr. 65) 16 δοξατουνε Pap., verb. A. 16—20 ergänzt A. Apollod. bibl. III 6, 2, 4 γενομένης γὰρ αὐ⟨τῷ διαφορ⟩ᾶς πρὸς Ἄδραστον, διαλυσάμενος ὤμοσε, περὶ ὧν ⟨ἂν⟩ Ἀδράστῳ διαφέρηται, διακρίνειν Ἐριφύλῃ συγχωρῆσαι. ὅτε οὖν ἐπὶ Θήβας ἔδει στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦντος, Ἀμφιαράου δ' ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον λαβοῦσα ἔπεισεν αὐτὸν σὺν Ἀδράστῳ στρατεύειν. Ἀμφίαραος δὲ ἀνάγκην ἔχων στρατεύειν usw.

(Ἀμφ.) ἐδέ]ξαθ'· ἥκω δ', [ὡς ὁρᾷς, βίᾳ φρενῶν.
(Ὑψ.) [ὄψ]ει σαφῶς [τὸ μέλλον, ὥστε καὶ φυγεῖν.
(Ἀμφ.) [οὐκ ἔ]στιν ο[ἰκαδ'] ἄγ[δρα τόνδ' ἐλθεῖν πάλιν.
(Ὑψ.) [τί δῆ]τα θύειν [καὶ θεοῖς σπένδειν θέλεις;
(6 verse fehlen)
(Ἀμφ.) εἰρήσ[εται δὴ ποῦ 'στιν ἢ οὐκ εἰρήσεται;
(Ὑψ.) ἔξω γυ[ναικῶν οὐ καλεῖς ἄλλην τινά;
(Ἀμφ.) ὡς οὐ[χὶ δείξουσ' ὕδατ' ἐμοὶ λέγεις τάδε;
(Ὑψ.) οὐ δυ[νάτ' ἔμοιγε τόνδε παῖδα καταλιπεῖν.
(Ἀμφ.) εἰδ
(Ὑψ.) [α]ἰσχ[ρ
(Ἀμφ.) αλλοι
(Ὑψ.) τίς χρ
(Ἀμφ.) διδ

Fr. **XVIII**

(Ὑψ.) κρήνη [σκ]ιάζ[εταί τις· ἦ λόχμας νέμει
δράκων πάροικος[, φοινίοισιν ὄμμασιν
[γ]οργωπὰ λεύσσω[ν χρύσεόν τ' ἐν τῷ κάρᾳ
πήληκα σείων, οὗ φόβ[ῳ θνήσκουσι γῆς
ποιμένες, ἐπει[δή] γ' ἐν [βοτοῖσί νιν λόγος
πάν[δει]να δρᾶσαι καιρί[ως ἐγκείμενον.
(Ἀμφ.) φ[εῦ· γυ]ναικὶ πάντα γίγνε[ται φόβου πλέα·
ὅφις τι]ς ἥκει· φύλακα δ' οὐ π[αρόνθ' ὁρᾷς;

---

* Didymus δείξω μὲν Ἀργείοισιν ἀχελῴου ῥόον.

Pap. Fr. **VIII. IX**

..λευ[
Πλευρ[ων

νο

19 ....' στιναι pap. (es war übergeschrieben νοικαδε) 20 das gespräch wird zu dem anliegen des Amphiaraos zurückgelenkt 27—30 die beispielsweise ergänzung soll nur zeigen, wovon die rede war. **XVIII** 1 κρηνηνδιαζ bezeugt Hunt, der aber κρήνης σκ. für möglich hält 5 επει. ιγ' pap. 6 παν.. δια pap. (δι = ν?) καιρῳ pap. Bevor sie mitgeht, erzählt Hyps. dem Amph. von dem drachen; er aber spottet ihrer furcht * Didymus in Macrob. Sat. V 18, 12. Fr. 753 Nk.: ἀχελῷον πᾶν ὕδωρ Εὐριπίδης φησὶν ἐν Ὑψιπύλῃ. λέγων γὰρ περὶ ὕδατος ὄντος σφόδρα πόρρω τῆς Ἀκαρνανίας, ἐν ᾗ ἐστιν ὁ ποταμὸς Ἀχελῷος φησίν ‚δείξω—ῥόον' Fr. **VIII** enthält die versanfänge 1—9 σφ., die zusammenfügung mit fr. **IX** (versenden 6—9 und v. 10—17) ist

ἀλατευ[
πατρα[
φυγὰς [
νυ[κτ . . . . .] ἐν κοίταισι παρ' αὐλᾶι
ἔριδ' [ἔπεσιν ἀ]μειβόμενοι
σιδ[άρου τ' εἰρ]εσίᾳ
σφ[α]γὰ[ν ἔτευ]χον
κλισίας π[ερ]ὶ νυκτέρου,
γενναίων πατέρων
φυγάδες δορὶ θυμὸν [ἔχοντες.
Φοίβου δ' ἐν[ο]πὰ[ς] β[ασ]ιλεὺς ἐνύχευ-
ε[ν] Ἄδραστος ἔχων
τέκνα θηρσὶν [ζ]εῦ[ξ]αι
. . . . . δ]όμο[ν
. . . . . ἀμπετάσας

---

* Plut. ἕτερον ἐφ' ἑτέρῳ ⟨δ'⟩ αἰρόμενος
ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ
τὸ νήπιον ἔχων ἄπληστον ∪ —

Pap. Fr. X

Χο. πο[ῦ, τέκν]ον [
ποῦ μάλα;
Ὑψ. ἐγγύς, οὐχὶ μα[κρὰν δοκῶ
λε]ύσσειν, ἀλλὰ σο[
Χο. ἄλ]ικες οἵας εἰρε[

---

durch v. 9 gesichert. Der chor erzählt aus der vorgeschichte des eben stattfindenden zuges der sieben, wie Polyneikes und Tydeus bei Adrastos um das nachtlager in streit geraten und die töchter des Adrastos heiraten 2 Pleuron bezieht sich auf Tydeus 7 beispielshalber erg. A. 8 σιδάρου τ' εἰρεσίᾳ erg. Bury und Murray 9 -χον oder -λον pap., erg. A. 12 ἔχοντες beispielshalber A. 13 ἐνοπὰς erg. Murray 15 ζεῦξαι Hunt zweifelnd * Plut. de amic. multit. 2 p. 93 D. quaest. conv. IV 1, 2 p. 661 F. Fr. 754 Nk. ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν und an der zweiten stelle: ἐπὶ πλεῖστον ἐξανθίζεται τοῦ λειμῶνος 1 δ' ergänzt A. αἰρόμενος p. 93, ἰώμενος p. 661 3 ἔχων ἄπληστον A. (um dochmien herzustellen), ἄχρηστον ἔχων p. 93, ἄπληστος ἐών p. 661. Stat. Theb. IV 786 X die von der quelle zurückkehrende Hypsipyle sucht mit hilfe des chores das kind und findet seine leiche 1 τέκνον erg. A. 3 μακρὰν Murray δοκῶ erg. A. 5 steckt in ειρε eine form von εὑρίσκω? Die übrigen ergänzungen von Hunt

Ὑψ. οἰ] ἐγώ·
Χο. τί θροεῖς;
Ὑψ. ὠλόμαν[
Χο. .....σα

Pap. Fr. **XX. XXI**

Ὑψ. ὦ φ[ίλτα]ται γ[υναῖκες, ὡς ἐπὶ ξυροῦ
ἕστηκα μ[ὴ] π[άθω τι καὶ πόλλ' οἴομαι
ἀνά[ξι'] ἔξειν· οἱ φόβοι δ' [ἄγχουσί με.
Χο. εὐελπ[ις ο]ὔτι[ς ἀλλ]' ἔχει σ[ωτηρίαν.
Ὑψ. φεύγειν στ[εγ]ῶν τῶν[δ' ἦ] δρ[όμῳ δυναίμεθ' ἄν;
Χο. τί δῆτά γ' ἐξεύρηκας; εἰς ἀλκ[ὴν τίνος;
Ὑψ. δέδοικα θ[αν]άτῳ παιδὸς οἷα πείσομ[αι.
Χο. οὔκουν ἄπειρός γ', ὦ τάλαιν', α[ὐτῆς ἐγώ.
Ὑψ. ἔγνωκα κἀγώ. τοῦτο καὶ φυλάξ[ομαι.
Χο. ποῖ δῆτα τρέψῃ; τίς σε δ[έ]ξεται πόλις;
Ὑψ. πόδες κριν[ο]ῦσι τοῦτο κα[ὶ π]ροθυμία.
Χο. φυλάσ[σ]εται γῆ φρου[ρίο]ισιν ἐν κύκλῳ.
Ὑψ. [ν]ικᾷ[ς]· ἐὼ δὴ τοῦτ[ό γ']· ἄλλ' [ἐ]πέρχομαι.
Χο. σκόπει· φίλας γὰρ τά[σδε] συμβούλους ἔχεις.
Ὑψ. τί δ' εἴ τιν' εὕροιμ' [ὅστ]ις ἐξάξε[ι] με γῆς;
Χο. τίς ἐστιν ὅστις βούλεται] δούλους ἄγειν;

---

*Stob. κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

---

†Stob. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

XX. XXI 1 φίλταται Bury (der raum etwas eng) γυναῖκες—ξυροῦ erg. Hunt 2 erg. A. 3 ἀνάξι' ἔξειν Hunt ἄγχουσί με A., ἴσχουσί με Hunt 4 ευελπ . . . υτι . . . εχειση pap., εὐελπι δ' οὔτι ῥῆμ' ἔχεις εἰπεῖν φίλαις Hunt. 'nemo spe bona est, quin salutis viam habeat', d. h. 'habe nur gute hoffnung, so findet sich auch ein weg zur rettung'. Vielleicht: ἄελπτος οὔτις, ἀλλ' usw. 5 στίβων τῶνδ' ἴδρις εἰ γὰρ ἦ μόνον Murray 6 ἐξεύρηκας εἰς ἀλκήν σ' ἄγον; Hunt, ἀλκὴν κακῶν Wil. τίνος A. 'wogegen würde das helfen?' 8 τάλαινας pap., τάλαινα συμφορῶν Hunt αὐτῆς = τῆς δεσποίνης 9 interpungiert A. 10 vgl. Med. 386 12 φρουρίοισιν Wil. 13 νικᾷς Wil. ἄλλ' ἐπέρχομαι (scil. τῇ διανοίᾳ) A., ἀλλ' ἀπέρχομαι Hunt 14—16 ergänzt Murray *Stob. Flor. 10, 26. Fr. 758 Nk. Lemma: Εὐριπίδου Ὑψιπύλῃ. Das konnte Eurydike zu Hypsipyle sagen † Stob. Flor. 20, 31. Fr. 760 Nk. Lemma: Εὐριπίδου Ὑψιπύλῃ. Der vers bezieht sich wohl auf Eurydikes zorn über Hypsipyles vergehen.

Pap. Fr. **XXII**

(Ὑψ.) .....ιτονο[
...βου ταλε[
καὶ μὴ δι᾽ ὀρ[γῆς μηδὲ διὰ τάχους φρενῶν,
χρόνῳ δὲ βού[λου τὸ γεγονὸς καλῶς σκοπεῖν.
τὸ τῶν γυναι[κῶν παῖδας οὐ στέργειν γένος
καὶ πα[ῖ]δα τ[ηρεῖν ἀρσένων κρεῖττον δοκεῖ;
κἂν διαριθμ[ῆσαί μοι δοκοῦσι τὰς τρίχας·
ἢν δ᾽ ἐξαμά[ρτωσ᾽, οὐχ ἑκούσιον τόδε.
(Χο.) γεννα[ῖ᾽ ἔ]λε[ξας καὶ φρονεῖν ἐμοὶ δοκεῖς·
ἐν σώφροσιν [δέ γ᾽ οὐδέν᾽ ἂν λάβοις ψόγον.
Εὐρυδ. τί ταῦτ[α] κομψ[εύει.....

Fr. **XXIII**

Εὐρυδ. τί φ[ή]ς; ἐ.....
Ὑψ. ἐκεῖ λο.....
Εὐρυδ. ὦ παγ[κακίστη.....
Ὑψ. τὸ μ.....

Fr. **XXIV**

Εὐρυδ. δε.....
Ὑψ. καὶ π[ῶς.....
Εὐρυδ. ὡς [δ]ὴ τί.....
Ὑψ. ὡς...ρ.....

Fr. **XXVII**

.ο.....υ[
καὶ χ[ερ]νιβ[...]δειξ[
ἐῶ δε..υλα[...]επω[
.δῆτα τηνι[...]κον[
ἀρετὴν ξενο[...]ελ[
δοκῶ δὲ ταυ[τ
ἢν μὴ σὺ πεισθ[ῇς
᾽.λ.....ουκ[

Fr. **XXVIII**

Fr. **XXII** erg. A. 2 β oder ϑ 9 ἔλεξας Bury Fr. **XXIII** 3 ὦ παγκακίστη Hunt Verbindung von fr. **XXVII** und **XXVIII** nach Hunt wahrscheinlich. Verteidigungsrede der Hyps. gegen Eurydike

Fr. **XXXII**

. . . . . μ
. . . . .]δ' εσ . . . . . τολ
. . . . .]ανυ . α . . . . ιασ.
. . . . . ὕπ]νον ἐκτελεῖ γλυκ[ὺν
. . . . . πε]ριέχουσ' ἐν ἀγκάλ[αις
. . . . .]κε . . ι φίλας τέκν[
. . . . . κ]ηλήματο[ς
. . . . .]ει λόγων [
. . . . . ἐ[π' ἀγκάλαις [
. . . . .]ς ἀπωλόμ[ην
. . . . . ἐ]κ χερῶν ν[

Fr. **XXXIV. XXXV**

. . . . . τη[. . . . δεσ]ποινα [-
. . . . . οι κλῆθρ' ὡς . . . . . ουσε[-
. . . . . ωμαι δωμάτων . . . . . τιδα[
. . . . . τ' ἔξω δμωΐς ἡ τροφ[ὸς τέ]κνου
. . . . . δίδωσιν οὐδ' ἔσω βαίν[ει δό]μων.

Fr. **LVII** . . ἔοικε δε[| . ε Διόνυσος τ[| π]αντὸς εἴσεσ[| ἐ]φέστηκ' οὐδ[| . . ιδ'. οὗτ[| τίς ποτ[| θαλαμο[| βάλλει ὑπ[| ἀνά τ' αἰθ[| τί τὸ σῆμα[| βότρυς α . [| ἀναδίδω[σι . . | ῥεῖ δὲ γά]λακτι | στάζε[| νέκταρ[| λιβάνου[| τάχ' ἂν ἐ[| χάριν α[|ἀνταγω[|

ὦ] πότνια θεῶ[ν . . | φ]άος ἄσκοπον[| ἀ]έρι πρωτόγονο[ν . . | . . . . ῥως ὅτε νυ[| . . . . . δη τοτε[| . . . . . γενο[|

Fr. **LVIII**] αὔρᾳ θέλομεν [| σ]μύρνας καπν[| θα]λάμοις Βρόμιο . . ει[|]ἀπ' οἴνας |] τε φίλαι | νάρ]θηκα φέρουσα

XXXII wohl ebenfalls aus der verteidigungsrede · 4 ὕπνον erg. Wil. Die zusammengehörigkeit der fr. **XXXIV. XXXV** zeigt sich in v. 4 und 5 2 Bury erg.: χαλᾶτέ μοι κλῆθρ', ὡς ἂν εἰσελθοῦσ' ἔσω 3 πρεσβύτιδα Bury, φροντίδα Hunt. Die sprecherin ist, nach Burys ergänzung, Eurydike **LVII. LVIII** reste eines stasimon, das vom kult des Dionysos handelt. Das glied τάχ' ἄν ἐ hat am rande das stichometrische zeichen $\bar{\lambda} = 1100$. Vor dem glied ὦ πότνια θεῶν ist durch Paragraphos strophenanfang bezeichnet. Fr. LVII enthält die anfänge der kola, die in fr. LVIII durchweg fehlen

τριπέ[τηλον . . . |]ας παρὰ χειρὸς ἐδε[|]ς ἐς οἴκους
|]ερον· ὡς δ' επεπωμ[| κυ]παρισσόρο[φ]ον χερὶ
ν[|]σωθεν

Fr. **LX** kol. 1

Ὑψ. ν . π . . . . . .
οὕτω δοκ . . . . . .
ὀργή, πρὶν ὀρθῶς πράγμ[ατος λόγον λαβεῖν.
σιγᾷς, ἀμείβῃ δ' οὐδέν; ὦ [πείσθητί μοι.
ὡς τοῦ θανεῖν μὲν οὕνεκ' [οὐκ ἀδημον]ῶ,
σοῦ δὲ κτανεῖν τὸ τέκνον οὐκ ὀρθ[ῶ]ς δοκῶ,
τοὐμὸν τιθήνημ', ὃν ἐπ' ἐμαῖσιν ἀγκάλαις
πλὴν οὐ τεκοῦσα τἄλλα δ' ὡς ἐμὸν τέκνον
στέργουσ' ἔφερ[β]ον ὠφέλημ' ἐμοὶ μέγα. —
ὦ πρῷρα καὶ λευκαῖνον ἐξ ἅλμης [δόρυ]
Ἀργοῦς· ἰὼ παῖδ', ὡς ἀπόλλυμαι κακῶς.
ὦ μάντι πατρὸς Οἰκλέους, θανούμεθα·
ἄρηξο[ν, ἐ]λθέ, μή μ' ἴδῃς ὑπ' αἰτίας
αἰσχρᾶς θανοῦσαν· διὰ σὲ γὰρ διόλλυμαι.
ἔλθ'· οἶσθα γὰρ δὴ ταμά· καί σε μάρτυρα
σαφέστατ[ο]ν δέξαιτ' ἂν ἥδ' ἐμῶν κακῶν. —
ἄγετε· φίλων γὰρ οὐδέν' εἰσορῶ πέλας,
ὅστις με σώσει· κενὰ δ' [ἐ]πηδέσθην ἄρα.

Ἀμφ. Ἐπίσχες, ὦ πέμπουσα τήνδ' ἐπὶ σφαγά[ς],
δόμων ἄνασσα· τῷ γὰρ εὐ[π]ρεπεῖ σ' ἰδὼν
τοὐλεύθερόν σοι προστίθημι τῇ φύσει.

Ὑψ. ὦ πρὸς σὲ γονάτων ἱκέτις, Ἀμφιάρεω, πίτνω
[κ]αὶ πρὸς [γ]ενείο[υ τ]ῆς [τ'] Ἀπόλλωνος τέχνης·
[κ]αιρὸν γὰρ ἥκεις τοῖς ἐμοῖσιν ἐν κακοῖς·
[ῥ]ῦσαί με· διὰ γὰρ σὴν ἀπόλλυμαι χάριν
μέλλω τε θνήσκειν· δεσμίαν δέ μ' εἰσορᾷς
πρὸς σοῖσι γόνασιν, ἢ τόθ' εἰπόμην ξένοις.

LX kol. 1 6 erg. A., πραγμάτων μαθεῖν ὁδόν Hunt 7 erg. A., ὧν κατηγορῶ Hunt 8 erg. A., οὕνεκ' αἰτία γ' ἐγώ Hunt 9 σοῦ δὲ A., τοῦ δε pap. 11 γ' statt δ' Hunt 12 ἔφερον pap., verb. Murray; ἔφερον ⟨ἐπ⟩ωφέλημ' Wil. 13 ἐξ ἅλμης ὕδωρ pap., δόρυ A. 14 ἰὼ παῖδες pap. 19 σαφεσταταν pap. 23 εὐτρεπεῖ pap., verb. Hunt 26 erg. Hunt τῆς Ἀπόλλωνος pap., τ' erg. Hunt 28 λῦσαί με Herwerden 29 δέ μ' pap., τέ μ' Hunt 30 ξενους pap.

ὅσια δὲ πράξεις ὅσιος ὤν· προδοὺς δ' ἐμὲ
ὄνειδος Ἀργείοισιν Ἕλλησίν τ' ἔσῃ.
ἀλλ' ὦ δι' ἀ[γνῶ]ν ἐμπύρων λεύσσων τύχας
Δαναοῖσιν, [εἰπ]ὲ τῇδε συμφορὰν τέκνου·
παρὼν γὰ[ρ οἶσ]θα· φησὶ δ' ἥδ' ἑκουσίως
κτανεῖν μ[ε π]αῖδα κἀπιβουλεῦσαι δόμοις.
Ἀμφ. εἰδὼς ἀφῖγμαι· τὴν τύχην θ' ὑπειδόμην
τὴν σὴν ἃ πείσῃ τ' ἐκπεπνευκότος τέκνου.
ἥκ[ω] δ' ἀρήξων συμφοραῖσι ταῖσι σαῖς
τὸ μ[ὲ]ν βίαιον οὐκ ἔχων, τὸ δ' εὐσεβές.
αἰ[σχρ]ὸν γὰρ εὖ μὲν ἐξεπίσταθαι παθεῖν,
δρᾶσαι δὲ μηδὲν εὖ παθόντα πρὸς σέθεν.
πρῶτον μὲν οὖν σὸν δεῖξον, ὦ ξένη, κάρα·
σῶφρον γὰρ ὄμμα τοὐμόν, Ἑλλάδ' ὡς λόγος
πολὺς διήκει· καὶ πέφυχ' οὕτως, γύναι,
κοσμεῖν τ' ἐμαυτὸν καὶ τὰ διαφέροντ' ὁρᾶν.
ἔπειτ' ἄκουσον, τοῦ τάχους δὲ τοῦδ' ἄνες·
εἰς μὲν γὰρ ἄλλο πᾶν ἁμαρτάνειν χρεών,
ψυχὴν δ' ἐς ἀνδρὸς ἢ γυναικὸς οὐ καλόν.
Εὐρυδ. ὦ ξένε, πρὸς Ἄργει πλησίαν ναίω χθόνα,
πάντων δ' ἀκούουσ' οἶδά σ' ὄ[ν]τα σώφρονα·
οὐ γάρ ποτ' εἰς τόδ' ὄμμ' [ἂν] ἔβλεψας παρών·
νῦν δ' εἴ τι βούλει καὶ κλύε[ι]ν σέθεν θέλω
καί σ' ἐκδιδάσκειν· οὐκ ἀνάξιος γὰρ εἶ.
Ἀμφ. γύναι, τὸ τῇσδε τῆς ταλαιπώρου κ[α]κὸν
ἀγρίως φέρουσαν σ' ἤπιον θ[έσθαι θέλ]ω,
οὐ τήνδε μᾶλ[λ]ον ἢ τὸ τῆς δ[ί]κης ὁ[ρ]ῶν.
αἰσχύνομαι δὲ Φοῖβον, οὗ δι' ἐμπύρ[ω]ν
τέχνην ἐπασκῶ, ψεῦδος ε[ἴ τ]ι λέξομεν.
ταύτην ἐγὼ ξέπεισα κρηναῖον [γά]νος

---

33 erg. Hunt 34 εἰπὲ τῇδε Hunt, . . . ε τηνδε pap. 35 erg. Murray 41 αἰσχρὸν erg. Hunt 44 Ἑλλάδ' ὡς λόγος A. (vgl. Soph. Oed. Col. 305 πολὺ γὰρ, ὧν γέρον, τὸ σὸν ὄνομα διήκει πάντας. Aesch. Sept. 900 διήκει δὲ καὶ πόλιν στόνος. Agam. 476 πόλιν διήκει θοὰ βάξις), Ἑλλήνων λόγος pap. 50 ναίω A., ναίων pap. 51 δ' tilgt Hunt 52 ἂν erg. (ohne lücke im pap.) Hunt 56 erg. Hunt 59 ἐπασκῶν pap. 60 κρηναῖον γάνος Aesch. Pers. 483

δεῖξαι δι᾽ ἀγνῶν ῥευμάτων ⏑ – ⏑ –
στρατιᾶς πρόθυμ᾽, Ἀργεῖον ὡς δ ⏑ – ⏑ –

Fr. **LX** kol. 2 *(es fehlen v. 63—65)*

. . . . . υσιν
. . . . παῖς με – ⏑ – ⏑ – ⏑ – ⏑ –
. . . ασαμεν ⏑ – ⏑ – ⏑ – ⏑ –
ἡμ]εῖς δὲ – ⏑ – ⏑ – ⏑ – ⏑ –
σῶσ]αι θέλοντες – ⏑ – ⏑ – ⏑ – 70
δρ]άκων ας – ⏑ – ⏑ – ⏑ – ⏑ –
ἠκόντισ᾽ ἁ ⏑ – ⏑ – ⏑ – ⏑ –
καί νιν δρόμ[ῳ φεύγοντα ταῖς σπείραις φθάσας
εἷλιξεν ἀμφ[ι – ⏑ – ⏑ – ⏑ –
ἡμεῖς δ᾽ ἰδό[ντες ὄρθι᾽ ὠλολύξαμεν. 75
ἐγὼ δ᾽ ἐτόξευσ᾽ [ὧδ᾽ ἔπος· ‚θανὼν ὁ παῖς·
ἀρχὴ γὰρ ἡμῖν [ἐγένεθ᾽ αὕτη τοῦ μόρου·
Ἀρχέμορος ἐ[ς τὸ λοιπὸν ὀνομασθήσεται.‘
σύ τ᾽ οὐχὶ σαυτῆ[ς μόνον ἀφῃρέθης γόνον,
ὄρνιθα δ᾽ Ἀργείο[ισι γενόμενον κλύεις· 80
καὶ μὴ στόλ[ον μὲν τόνδε γίγνεσθαι μάτην,
ἀλλ᾽ οὐχ[ὶ χἠμᾶς δεινὰ πείσεσθαι δόκει.
πολλοὶ δ[ὲ δορὶ τρωθέντες ἕξουσιν μόρον
Κάδμου [πολίταις· ἀριθμὸς ἐκ πολλῶν βραχὺς
νόστου κυρήσ[ει· τῶν δὲ συμμάχων στερεὶς 85
Ἄδραστος ἵξετ᾽ Ἀρ[γος εἰς πάτραν πάλιν
ἑπτὰ στρατηγ[ῶν θάνατον ἐκφυγὼν μόνος.
τὰ μὲν γενόμεν[α ταῦτα τά τε μέλλοντ᾽ ἔτι,
ἃ δ᾽ αὖ παραινῶ, ταῦτά μου δέξαι, γύναι.
ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν 90

61 ῥευμάτων ⟨ὅπως λάβω⟩ Murray 62 ὡς δ⟨ιεκπερῶν⟩ Wil. **LX** kol. 2 69 ἡμεῖς δὲ Hunt 71 ἄσ[ημος Bury αἱματωπὸν ὄμμασιν βλέπων Bury 73 erg. A. (δρόμῳ Hunt) 75 ff. erg. A. (ἰδόντες Hunt). Die ergänzung soll nur den gedankengang, soweit es sich mit wahrscheinlichkeit erkennen lässt, veranschaulichen 76 vgl. Aesch. Suppl. 446 καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια 80 ὄρνιθα = omen. Iph. Aul. 988 εἶτά σοι τάχα | ὄρνις γένοιτ᾽ ἂν τοῖσι μέλλουσιν γάμοις | θανοῦσ᾽ ἐμὴ παῖς (Hunt) 86 Ἄδραστος ἵξετἄρα πάτριον αὖ πέδον | ἑπτὰ στρατηγῶν ἐκσεσωσμένος μόνος Hunt 88 τὰ μὲν γενόμενα δὴ σαφῶς ἐπίστασαι Hunt 89—96 = Eur. fr. 757 Nk 89 ἄ γ᾽ οὖν Clem. Al. 90 οὐκ ἀεὶ πονεῖ Stob.

θάπτει τε τέκνα χἄτερα κτᾶται νέα
αὐτός τε θνήσκει· καὶ τάδ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες γῆν· ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
ἃ δ' εἰκὸς Ἀργε[ίων σ' ὕπ' εὖ παθεῖν φράσω.
θάψαι δὸς ἡμ[ῖν παιδὸς ἄθλιον νέκυν,
οὐ γὰρ καθ' ἡμ[έρας μόνον μιᾶς φάος,
ἀλλ' εἰς τὸν ἀε[ί τοι χρόνον πενθήμασιν
τοῖ[ς σο]ῖς βρότε[ιον πᾶν συνοίσεται γένος.
κλεινὸς γὰρ ἔσ[ται τάφος ὁ τοῦδ' ἐν ἀνδράσιν.
ἀγῶνά τ' αὐτῷ [στήσομεν μνήμης χάριν
στεφάνους διδ[όντες τοῖς κρατοῦσι φυλλάδος.
ζηλωτὸς ἔστ[αι δ' ὅ γε λαβὼν ἐν Ἑλλάδι.
ἐν τῷδε μὲν [λειμῶνι συναθροισθεὶς λεὼς
μνησθήσεται[ι σοῦ παιδός, Ἀρχέμορος ὅτι
ἐπωνομάσθη [πρῶτος ὡς ἄρξας μόρου,
Νεμέας κατ' ἄλσ[ος. τήνδε δ' οὖν λῦσαί σε χρή.
ἀναιτία γάρ· τοῖς [δὲ σοῖσι συμφέρον·
σὺν γὰρ καλῷ σὸ[ν δυστυχὲς θρυλούμενον
θήσει σε καὶ παῖδ' [εἰς τὸ λοιπὸν εὐκλεεῖς.

Εὐρυδ. ὦ παῖ, τὸ μέν σοι τ[ίμιον κἀμοὶ γλυκὺ
οὐχ ἧσσον· ἦ μὴν [πεισόμεσθα τῷδ', ἐπεὶ
[π]ρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν
καὶ τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν,
πειθὼ δὲ τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν·
τοῖς μὴ δικαίοις δ' οὐδὲ συμβάλλειν χρεών.

---

91 χἄτερ' αὖ Plut. 93 φέροντες γῆν Grotius, φέροντες τήνδ' Plut. und Stob. 96 nach diesem vers hat Plut. cons. Apoll. noch folgenden: δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς 97 αργ̣ pap. (ο rather than ε H.) 99 εἰς τὸν ἀεί τοι χρόνον τοῖς πήμασιν | τοῖς σοῖς βρότειον ὠφελήσεται γένος Hunt 101. 102 κλεινὸς γὰρ ἔσται τάφος ἐν ἀνθρώποις ὅδε | ἀγῶνά τ' αὐτῷ γυμνικὸν συστήσομεν Hunt 103 erg. Hunt 104 ζηλωτὸς ἔσται δ' ἀνδράσιν νίκη πάνυ Hunt 108 erg. Hunt 110 σὺν γὰρ καλῷ σὸν, ὦ γύναι, πάθος τέλει Hunt 111 εἰς τὸ λοιπὸν Murray 112 τίμιον Murray und Bury 113 ἦ μὴν pap. 114—117 = Eur. fr. 759 Nk 115 λόγον für χρεών Wecklein Rh. Mus. 33, 121

Fr. **LXI**

(Ὑψ.)

. . . . . λο . ροαζηλω κα . .
ἐλπὶς δ' ἐμοί τις ἦλ]θε καρδίας ἔσ[ω.
ἆρ' ἂν καλεῖν μοι τού]σδ' ἔχοις νεανί[ας;
ἐξ οὗ γέ μοι προσῆ]λθον, οὐ παρόνθ' ὅμ[ως
κἄπυστος εἴτε ζῶ]σιν ἢ τεθνᾶσι δ[ή,
ὤμην σφε παύσειν πο]λλὰ δυστυχοῦν[τ' ἐμὸν
βίον, τελευτήσαντε] δουλείαν πικρ[άν.
ἀλλ' ἐξέβην γὰρ εἰ]ς ἀνηνύτους λό[γους,
Ὀφέλτα, χαῖρε· κλ]αύσομαί σε δ' ὡ[ς πρέπει·
ἐν ζῶσι μὲν γὰρ ὢν] καταστήσειας ἄ[ν
ἔμ', ὥς ποτ' ἦ τὸ πρό]σθ', ἐλευθέραν [πάλιν·
ἐπεὶ δ' ἄρ' ἤδη νεκ]ρὸς εἶ σύ μοι, τέκ[νον,
οὔτ' ἀξίαν ἂν σῇ τρ]οφῷ δοίης χά[ριν
ἡμᾶς τ' ἀνάγκη δο]υλικὰ[ς ἀε]ὶ λα[χεῖν
βίου λατρείας]

Fr. **LXII**

(Ὑψ.)

. . . . . σ . . . [
. . . . . νητομο
νόμος παλαιὸς ἐστι Λ]ημνίαις ὅδε·
. . . . . ξαιμεν ἂν
. . . . . οὐ κωλύει
. . . . . ους μολεῖν
. . . . . είας τινός.
. . . . . αύματα
. . . . . ν πλάκα
. . . . . ου φρα[σ . .
. . . . . ´θο . . .

Fr. **LXIII**

(Ὑψ.)

οὐλεύθερος πρὸς] ἄνδρα κατέφυγεν [φίλον·
δούλους δὲ ποῖ] θεῖν ἔστιν; εἰς τὰ[ς] δε[σποτῶν
πράξεις μὲν αὐτ]οὺς ἀνέθεσαν· τὰς συν[φορὰς
μόνοι φέρουσιν]· οὐκ ἔχουσι συμμάχους.

LXI 1 οὔρι' ἀζήλῳ κακῷ Wil. 2 ἔσω Hunt 4 ὅμως Hunt λθομου (μ aus λ verbessert?) pap. 5 ζῶσιν Hunt 8 λόγους Hunt 11 πρόσθ' Hunt 12 τερ pap. Das übrige erg. A. **LXII** 3 versuchsweise erg. A. **LXIII** erg. A.

ἐμὲ δ' ἦν ὁ σώσα]ς Ἀμφιάρεως· σῶσαι [δ' ἴσως
δύναιτ' ἂν αὖ]θις, ὡσπερεὶ νεὼς [σάλῳ|
πολλῷ καμούσης χερσὶ λ]α[μ]βάνω[ν πάλιν
οἴακα·]

---

*Stob. ἄελπτον οὐδέν, πάντα δ' ἐλπίζειν χρεών.

Aristoph. περίβαλ', ὦ τέκνον, ὠλένας

---

*Lydus ὦ θνητὰ παραφρονήματ' ἀνθρώπων, μάτην
οἵ φασιν εἶναι τὴν τύχην καὶ τοὺς θεούς·
εἰ γὰρ τύχη μὲν ἔστιν, οὐδὲν δεῖ θεοῦ,
εἰ δ' οἱ θεοὶ σθένουσιν, οὐδὲν ἡ τύχη.

Fr. **LXIV** kol. 1. (*Ganz zerstört. 57 zeilen. Zu zeile 50 scholion:* Ἠδωνίσι Θρᾳκίαις, *zu z. 51* Πάγγαιον ὄρος τῆς Θράκης)

kol. 2. Ὑψ. τέκνα τ' ἀνὰ μίαν ὁδὸν
ἀνάπ[α]λιν ἐτρόχασεν
ἐπὶ φόβον ἐπί τε
χάριν ἑλίξας.
χρόνῳ δ' ἐξέλαμψεν εὐάμερος.

Ἀμφ. τὴν μὲν παρ' ἡμῶν, ὦ γύναι, φέρῃ χάριν,
ἐπεὶ δ' ἐμοὶ πρόθυμος ἦσθ' ὅτ' ἦν τότε,
ἀπέδωκα κἀγὼ σοὶ πρόθυμ' ἐς παῖδε σώ.
σῴζου δὲ δὴ σύ, σφὼ δὲ τήνδε μητέρα·
καὶ χαίρεθ'· ἡμε[ῖ]ς δ' ὥσπερ ὡρμήμεσθα δή,
στράτευμ' ἄγοντες ἥξομεν Θήβας ἐπί.

LXIII 6—7 αὖθις ὡσπερεὶ νεὼς σάλῳ | πλαγκτῆς κυβερνήτην σε λαμβάνω σοφόν Wil. *Stob. Flor. 110, 16. Fr. 761 Nk. Lemma: Εὐριπίδου Ὑψιπύλῃ *Arist. Ran. 1322. Fr. 756 Nk. Schol.: καὶ τὸ ‚περίβαλ', ὦν τέκνον' ἐξ Ὑψιπύλης περίβαλλ' Arist. *Lydus de mensibus IV 7 p. 55, 15 3. 4 = Nauck fr. adesp. 169 εἰ μὲν θεοὶ σθένουσιν, οὐκ ἔστιν τύχη· εἰ δ' οὐ σθένουσιν, οὐδέν ἐστιν ἡ τύχη (lies οὐ τύχη). **LXIV** kol. 2 1 voraus ging ἐμέ τε, subjekt ist das schicksal (ὁ δαίμων) (Hunt). Nach ὁδόν kolenschluss; die worte ἀνάπαλιν bis ἑλίξας bilden eine fortlaufende trochäische reihe; v. 5 dochmischer dimeter 3 Wil. und Hunt tilgen τε 7 ὅτ' ἠντόμην Hunt. Das überlieferte ἦν = ἐξῆν 9 σὺ τέκνα pap. τήνδε vom korrektor über der zeile geschrieben τέκνα tilgte Hunt, τήνδε tilgt Schmidt

οἱ Ὑψιπ. α εὐδαιμονοίης· ἄξιος γάρ, ὦ ξένε.
υἱοί ———
β εὐδαιμονοίης δῆτα. τῶν δὲ σῶν κακῶν
τάλαινα μῆτερ, θεῶν τις ὡς ἄπληστος ἦ[ν].
Ὑψ. αἰαῖ φυγὰς ἐμέθεν ἃς ἔφυγον,
ὦ τέκνον, εἰ μάθοις, Λήμνου ποντίας
πολιὸν ὅτι πατέρος οὐκ ἔτεμον κάρα.
Εὔν. ἦ γάρ σ' ἔταξαν πατέρα σὸν κατακτανεῖν;
Ὑψ. φόβος ἔχει με τῶν τότε κακῶν· ἰὼ
τέκν', οἷά τε Γοργάδες ἐν λέκτροις
ἔκανον εὐνέτας.
Εὔν. σὺ δ' ἐξέκλεψας πῶς πόδ' ὥστε μὴ θανεῖν; [π = 1600
Ὑψ. ἀκτὰς βαρυβρόμους ἱκόμαν
ἐπί τ' οἶδμα θαλάσσιον, ὀρνίθων
ἐρῆμον κοίταν.
Εὔν. κἀκεῖθεν ἦλθες δεῦρο πῶς τίνι στόλῳ;
Ὑψ. ναῦται κώπαις
Ναύπλιον εἰς λιμένα ξενικὸν πόρον
ἄγαγόν με δουλοσύ[ν]ᾳ τ' ἐπέβασαν, ὦ τέ[κ]νον,
ἐνθάδε νάϊον μέλεον ἐμπολάν.
Εὔν. οἴμοι κακῶν σῶν.
Ὑψ. μὴ στέν' ἐπ' εὐτυχίαισιν.
ἀλλὰ σὺ πῶς ἐτράφης ὅδε τ' ἐν τίνι
χειρί, τέκνον ὦ τέκνον;
ἔνεπ' ἔνεπε ματρὶ σᾷ.
Εὔν. Ἀργώ με καὶ τόνδ' ἦγαγ' εἰς Κόλχων πόλιν.

15 φυγαστεμεθεν pap., τ' tilgte Hunt 15—17 dochmien, denen ein iamb. metron vorausgeht 17 πολιὸν im pap. nach ἔτεμον, von Wil. umgestellt 19—21 dochm. dimeter, anapäst. dimeter, dochm. monometer 20 τέκνον für τέκνα fordert Wil. (vgl. 16) Γοργάδες = Γοργόνες Phot. Lex. s. v. πλόκιον Γοργάδος (Hunt) 22 am rande als vers π = 1600 bezeichnet 23—25 iamb. dimeter, anapäst. dimeter, dochm. monometer 24 ορνεεων pap. 27 daktyl. dimeter, spondeisch 28 daktyl. tetrameter, akatalektisch 29 daktylotrochäischer vers: troch. metron + daktyl. tripodie, mit trochäischer katalexe + troch. metron, katalektisch 30 dochmischer dimeter ενθαδηναιων pap., verb. A. νάϊος in dieser bedeutung allen drei trag. geläufig 31 προσοδιακόν (iamb. trithemimeris + daktyl. tripodie) 32 daktyl. tetrameter, akatalektisch
δ
ὁτε δ' εν τινι pap., verb. Hunt 33. 34 zwei kretische dimeter 35 ἐς Ἰωλκὸν πόλιν Hunt ed. pr.

Ὑψ. ἀπομαστίδιον γ' ἐμῶν στέρνων.
Εὔν. ἐπεὶ δ' Ἰάσων ἔθαν' ἐμός, μῆτερ, πατήρ —
Ὑψ. οἴμοι κακ[ὰ] λέγεις, δάκρυά τ' ὄμμασιν,
τέκνον, ἐμοῖς δίδως.
Εὔν. Ὀρφεύς με καὶ τόνδ' ἤγαγ' εἰς Θρᾴκης τόπον.
Ὑψ. τίνα πατέρι ποτὲ χάριν ἀθλίῳ
τιθέμενος; ἔνεπέ μοι, τέκνον.
Εὔν. μοῦσάν με κιθάρας Ἀσιάδος διδάσκεται·
τοῦτ[ο]ν δ' ἐς Ἄρεως ὅπλ' ἐκόσμησεν μάχης.
Ὑψ. δι' Αἰγαίου δὲ τίνα πόρον
ἔμ[ολ]ετ' ἀκτὰν Λημνίαν;
Εὔν. Θόας [κ]ομίζει σὸς πατὴρ δυοῖν τέκνω.
Ὑψ. ἦ γὰ[ρ] σέσ[ω]στ[α]ι;
Εὔν. Βα[κ]χ[ίου] γε μηχαναῖς.
Ὑψ. .....βό....όνων
.....πρ]οσδοκία βιοτᾶς
.....ε ματρὶ παῖδας ἦ
.....μοι
Θόας κεί[νου.....ντος οἰνωπὸν βότρυν

(Nach 40 versen trat Dionysos als deus ex machina auf)

ΕΥΡΙΠΙΔΟΥ ΦΑΕΘΩΝ

(aufgeführt vor 425)

Κλυ. δάμαρ δοθεῖσα] Μέροπι τῆσδ' ἄνακτι γῆς
ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα
Ἥλιος ἀνίσχων χρυσέᾳ βάλλει φλογί.
καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι
Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις.

36. anapäst. metron + katal. dochmius 38 οιμοικακων λεγεις pap., verb. Murray 41. 42 trochäen 43 κιθαρις pap., verb. Hunt 45. 46 dochmischer trimeter (der erste d. mit unterdrückter zweiter senkung, der zweite mit auflösung aller drei hebungen, der dritte mit irrationaler erster senkung) 46 ἔμολετ' erg. Hunt 47 δυοῖν τέκνω pap., verderbt; vielleicht δύ' ὄντε νώ, δύ' οἱ τέκνω Murray 48 erg. Murray 53 κείνου βροτοῖσι δόντος Murray 1—5 Strabo I p. 33 ὅ τ' Εὐριπίδης ἐν τῷ Φαέθοντι τὴν Κλυμένην δοθῆναι φησί ‚Μέροπι—ἱπποστάσεις'. οὗν μὲν δὴ κοινὰς ποιεῖται τὰς ἱπποστάσεις τῇ τε Ἠοῖ καὶ τῷ Ἡλίῳ· ἐν δὲ τοῖς ἑξῆς πλησίον αὐτάς φησιν εἶναι τῇ οἰκήσει τοῦ Μέροπος· καὶ ὅλῃ γε τῇ δραματουργίᾳ τοῦτο παραπέπλεκται 1 erg. Nk. 5 φαεννὰν die Strabohdschr., nur in A übergeschrieben ᾱς

. . . . . .

. . . . . .

θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς
καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει.

COD. CLAROMONT. blatt I kol. 1

(Φα.) ποίας ἔπραξε χθὲς συναλλ]αγὰς θεῶν
πρὸς τὴν Κύπριν κήρυκας ἐ]κπέμπων πατήρ;
(Κλ.) ᾔτησε παῖδα τῆς θεᾶς σὸν] εἰς λέχος·
χἡ μὲν προθύμως σύμβασίν τε] καὶ λόγους
ἐδέξατ' αἰνέσειν τε τόνδ' ἔφη γάμ]ον.
μὴ δῆτ' ἀναίνου ταῦτ' ἀπαξι]ῶν λέχη.
(Φα.) ἔστ' ἄν γε τοὐμὸν ἐν ἀφανεῖ γέ]νος μένῃ,
εἰ θεοῦ πέφυκ', ἀφὲς γάμων με θε]ογ[όνων.
οὐ γάρ ποτ' ἐν γάμοισι κερδαί]νονθ' ὁρῶ
τὸν κρείττον' αὑτοῦ λέκτρ' ἔχειν πειρ]ώμενον.
(Κλ.) σάφ' ἴσθι γ'· Ἥλιός σ' ἐγέννησεν πατήρ.]
(Φα.) ἄλλος δέ μ' οὐδεὶς οἶδεν ὅτι παῖ]ς Ἡλίου{ς}.
(Κλ.) ἀπωλόμεσθ' ἄν, εἴ τις ἤγγει]λεν πατρί.
(Φα.) πάλαι γ' ἐμαῖσιν ἐμποδὼν τόδ'] ἐλ[πί]σιν.
(Κλ.) πείσθητί γ', ἱκετεύω, τόδ', ὦ τέκν]ο[ν, π]ατ{α}ρί.
(Φα.) τί μοι παραινεῖς; λέγε λόγους μοι δ]ευτέρους.
(Κλ.) δέξαι πατήρ σοι ταῦθ' ἃ πορσύνει] λέχη.
(Φα.) ἦ πατέρα μου τάδ' ὃς παραγγέλ]λει λέγεις;
(Κλ.) οὐ δῆτα· παῖδα φημί σ' Ἡ]λί⟨ου⟩ θεοῦ.
(Φα.) ὁ δ' οὐ βοηθεῖ ταῖς ἐμαῖσιν ἐ]λπίσιν.
(Κλ.) τὸ θεῖον οὐχὶ δοῦλον ἀλλ' ἐ]λε[ύθ]ερον.

---

6 Stob. Ecl. I p. 214, 8 W. 7 Vitruv. IX 1, 13 ταγγυγναιειευχραταεχει hdschr., verbessert Valckenaer I col. 1 Der versuch diese verse dem sinne nach zu ergänzen, wurde nur als erklärung der erhaltenen versschlüsse und personeneinteilung, soweit sich aus ihnen anhaltspunkte für den verlauf der scene ergeben, gewagt. Personenwechsel ist in der hdschr. durch doppelpunkt bezeugt nach v. 2. 6. 10. 29. 34, also überall ausser der nach meiner deutung stichomythischen partie. Zusammenhängende rede der Klymene kann keinesfalls v. 11—29 umfassen. Man erwartet hier die stichomythie als form für die entwicklung der beiden gegensätzlichen standpunkte 4 π̣αιλοσους las Blass 12 ο̣ηλιους las Blass 15 ο . . ατα̣ρι las Blass 19 λ̣ι̣ θεοῦ las Blass

(Φα.) πάλαι γ' ὑπ' αὐτοῦ, μῆτερ, ἠμ]ελήμεθα.
(Κλ.) εἰς νύκτα κρύπτειν τὸ φάος ἐν δ]υσμαῖ(ς) φιλεῖ.
(Φα.) ἀλλ' ἀπορίας μ' ἔπλησαν ἐσχ]άτης γάμοι
(Κλ.) τῷ μᾶλλον αὐτὸς καὶ σὺ δὴ 'κηδ]εύσατ' ἄν;
(Φα.) τί δ' οὐ πρὸς αὐτὸν ἐκπερᾷς κ]αὶ πυ[νθά]νει;
(Κλ.) τὸν καιρὸν ἀναμένουσα τοῦ πεπ]ρωμένου.
(Φα.) καιρὸν δὲ πῶς λέγ' εἴσομαι, μα]θὼν ὅτου;
(Κλ.) τῇ τοῦ φρονοῦντος ἐξελήλ]εκται φρενί.
(Φα.) εἰδώς νιν αὐτίκ' εἶμι δώμαθ' Ἡλίου.]
σὺ δ' οὖν βοήθει, μῆτερ, ἐν]νέπουσά μοι,
πῶς δέξι' ἐν δόμοις ὁμι]λήσω πατρός,
σαφῶς δ' ἐλέγξω 'μαυτὸν ὅτι παῖς Ἡλίου.]
(Κλ.) κρύπτειν δεήσει γ', ἂν μάθῃς, τέκ]νον φίλον.
(Φα.) οὕτοι προδώσω· μὴ φοβοῦ· τ]ὰ φίλτατα.
τἀκεῖ μαθὼν δὲ, πάντα ταῦτ'] εὖ δὴ τιθεὶς
τὸ πεῖρ γάμων μοι συμφέρειν δ]όξαν φανῶ.

(4 verse fehlen)

COD. CLAROMONT. blatt I kol. 2 u. 3 und Berl. Pap. 9771

kol. 2 (Κλυ.) μνησθεὶς ὅ μοί ποτ' εἶφ' ὅτ' εὐνάσθη θεός,
αἰτοῦ τί χρῄζεις ἔν· πέρα γὰρ οὐ θέμις
λαβεῖν σε· κἂν μὲν τυγχάνῃς, ἐ[τητύμως
θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.
(Φαε.) πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου;
(Κλυ.) κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν.
(Φαε.) εἴπερ πατὴρ πέφυκεν· οὐ κακῶς λέγεις.
(Κλυ.) σάφ' ἴσθι· πεύσῃ δ' αὐτὸ τῷ χρόνῳ σαφῶς.
(Φαε.) ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν.
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ αἵδ' ἔξω δόμων
δμῳαὶ περῶσιν, αἳ πατρὸς κατὰ σταθμοὺς

---

23 υσμαι φιλει Blass 25 ευσατεω Blass 26 αιπι..ναι Blass
1 μνησθεὶς' Hartung τότ' für ποτ' Rau ηὐνάσθην θεός Hartung
2 λέγ' εἴ τι χρῄζεις Rau πέραι cod. 3 ἐτητύμως Bekker, ὅτου θέλεις Wil., σάφ' ἴσθ' ὅτι Hermann 5 θεμον cod., verb. Burges 7 επει cod. m. pr., ειπερ korrektor 9 λεγει cod. m. pr. ν vom korr. zugefügt
11 καταστθμου cod. (τ oder ρ; ϑ korrigiert und unsicher), κατὰ σταθμοὺς Blass (ΩPAEMOI las Hase; vielleicht: κάθωρ' ἐμοῦ. κάθωρος, wie ἔνωρος, πρόωρος)

σαίρουσι δῶμα καὶ δόμων κειμήλια
καθ' ἡμέραν φοιβῶσι κἀπιχωρίοις
ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων.
ὅταν δ' ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ
πύλας ἀμείψῃ καὶ λόγους γάμων πέρι
λέξῃ πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους
τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.

Χο. ἤδ[η] μὲν ἀρτιφανὴς str. α
Ἕω[ς ἱππεύει] κατὰ γᾶν.
ὑπὲρ δ' ἐμᾶς κεφαλᾶς
Πλειὰ[ς ἐκλείπει νυχία
μέλπει δὲ δένδρεσι λεπτὰν
ἀηδὼν ἁρμονίαν
ὀρθρευομένα γόοις
Ἴτυν Ἴτυν πολύθρηνον.

σύριγγας δ' οὐριβάται antistr. α
κινοῦσι ποιμνᾶν ἐλάται·
ἔγρονται δ' εἰς βοτάναν
ξανθᾶν πώλων συζυγίαι.
ἤδη δ' εἰς ἔργα κυναγοὶ
στείχουσιν θηροφόνοι.
πηγαῖς δ' ἐπ' ὠκεανοῦ
μελιβόας κύκνος ἀχεῖ.

ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας str. β
ἀνέμων τ' εὐάεσσιν ῥοθίοις,
ἀνὰ δ' ἱστία [ναῦται] ἀειράμενοι
ἀχοῦσιν· „[ἄγου πό]τνι' αὔρ[α]
[ἡμᾶς σὺν] ἀκύμονι πομπᾶι

---

15 ουταν cod. m. pr., οτανδ korrektor υπνου cod., verb. Hermann Für die parodos tritt pap. 9771 hinzu. Nur was in beiden hdschr. fehlt, ist eingeklammert 20 Ἕως ἱππεύει Wil. 22 νυχία Radermacher, σκοτία Wil. 28 κινουσι ποιμναν pap., κινουσιν ποιμνας Clar. 30 συνζυγιαι Clar. 32 θ[ηροφονοι στ]ειχουσιν pap. 35 ακοντοι Clar., verb. Matthiae ειρεσιαις pap. 36 εὐάεσιν Clar. (ανεμωντ und ροθι vom korrektor nachgetragen), im pap. war entweder εὐάεσσιν oder ἀνέμων ausgelassen 37—41 ergänzt von Krantz 38 αχεουσιν Clar. und pap., verb. Wil. (ἀχεῦσιν? derselbe)

σιγώντων ἀνέμων
[ποτὶ τέκνα] τε καὶ φιλίας ἀλόχους.“
kol. 3 σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάζει.

τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει, antistr. β
κόσμον δ᾽ ὑμεναίων δεσποσύνων
ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως
ὑμνεῖν· ὁμωσὶν γὰρ ἀνάκτων
εὐαμερίαι προσιοῦσαι
μολπᾶι θάρσος ἄγουσ᾽
ἐπιχάρματά τ᾽· εἰ δὲ τύχα τι τέκοι,
βαρὺν βαρεῖα φόβον ἔπεμψεν οἴκοις.

ὁρίζεται δὲ τόδε φάος γάμων τέλει, epod.
τὸ δή ποτ᾽ εὐχαῖς ἐγὼ
λισσομένα προσέβαν
ὑμέναιον ἀεῖσαι
φίλον φίλων δεσποτᾶν.
θεὸς ἔδωκε, χρόνος ἔκρανε
λέχος ἐμοῖσιν ἀρχέταις.
ἴτω τελεία γάμων ἀοιδά.

ἀλλ᾽ ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων
κῆρύξ θ᾽ ἱερὸς καὶ παῖς Φαέθων
βαίνουσι τριπλοῦν ζεῦγος, ἔχειν χρὴ
στόμ᾽ ἐν ἡσυχίᾳ·
περὶ γὰρ μεγάλων γνώμας δείξει,
παῖδ᾽ ὑμεναίοις, ὡς φησί, θέλων
ζεῦξαι νύμφης τε λεπάδνοις.
(Κῆρυξ) Ὠκεανοῦ πεδίων οἰκήτορες,

42 προγονον Clar., verb. G. Hermann 43 so Clar., ἑτέρων ἑτέ-[ροισι μέλει] hatte pap. (ergänzt von Rubensohn) 44 κόσμον δ᾽ ὑμεναίων δεσποσύνων Fritzsche, κοσμεινομεναιων δε δεσποσυνων Clar., ebenso mit αει vor δεσπ. pap. κῶμον statt κόσμον Hermann 45 δικαιονεαγει Clar. 47 εὐαμερίαι M. Schmidt, ευαμεροι Clar. ευημεροι pap. 48 θράσος Clar. αιουσ Clar., verb. Kaibel 49 τ᾽ fehlt im Clar. 51 τέλει pap., τελος Clar. 61 τριπλοῦν Clar. erste hand, διπλοῦν korrektor 64 ωσ-φησι las Bekker, οισφησι Blass 65 τε korrektor Clar., δε erste hand 66—75 gab dem herold Hermann

εὐφαμεῖτ' ὦ
ἐκτόπιοί τε δόμων ἀπαείρετε,
ὦ ἴτε λαοί.
κηρύσσω δ' ὁσίαν βασιλήϊον
αἰτῶ δ' αὐδάν
εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος
ἅδ' ἔνεχ' ἥκει,
παιδὸς πατρός τε τῆδ' ἐν ἡμέρᾳ λέχη
κρᾶναι θελόντων· ἀλλὰ σῖγ' ἔστω λεώς.
(Μερ.) . . . . . .
⏑ – ⏑ – ⏑ – ⏑ εἰ γὰρ εὖ λέγω
(5 verse fehlen)

COD. CLAROMONT. blatt I kol. 4 mit fr. 774 Nk.

. ηδ' . . . . . .
ϑ . . . . . .
ἐν σοὶ γ . . . . . .
ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σῴζειν φιλεῖ
ὡς τρεῖς ἀφέντι· προστάτης ϑ' ἁπλοῦς πόλει
σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πόλει.
τῷ μοι ν[έαν φύτευε γένναν, ἥδ' ὅπως
γῇ διὰ το[σούτων σοῦ πατρὸς κλύουσ' ἐτῶν
γάμοισ[ι τοῖς σοῖς σοῦ τε καὶ παίδων κλύῃ.
ἄλλοις [τε γὰρ ϑεοῖς ὅδ' ἀνδάνει γάμος
δώσει τ[ε χρυσὸν Κύπρις ἐν δόμοις ἔχειν.
νέο[ν] δὲ [νύμφευμ' εἰς δόμους λαβεῖν νέῳ

---

70 κηρύσσω ϑυσίαν Weil 71 αυτω δ' αυδαν Clar., βασ. ἄζων αὐδάν Wil., αἰτῶ δ' αἴσαν Hermann, αἰτῶ δ' αὔξαν Duentzer 73 εν-νεχηκει Clar. erste hand, ενεχηξει korrektor 76 Μεροψ hat der korrektor zugefügt 83 ff. Merops erklärt dem Phaëthon die gründe, die für seine heirat mit der ihm bestimmten braut sprechen. Von v. 86—88 stehen nur je fünf anfangsbuchstaben im Clar., die ganzen verse Stob. Flor. 43, 3 (Nauck fr. 774) 85 auf dir beruht die zukunft meines thrones 86 οὐχ ὁμῶς vermutet Badham 87 ἀφεῖσαν Bake 88 σφαλερόν Herwerden πόλει Stob. codd., πέλει Barnes 89—91 u. 93 beispielshalber ergänzt A. 92. 94. 95 erg. Radermacher

ἥδιστο[ν ἀνδρί
. . . . . [
οὐχ ὡς[
παῖσ τα[
γέρωντ[
νεαιθ[
τοσῷδ[ε
δεπωσ[
στ . . υδ[
κἂν ἀν[
πέσωδ[
ελολ[
κλε[
πολεμ[
κηδ[
ἐξο[ι]δ' ἀ[
ὅταν γε[
κ . . . .
γαμεῖς[
και . υχ[
οὐκ ἀν[
ἅρον βά[ρ.
ηδει . . ε[
. τε σύ γε
(5 verse fehlen)

AUS DEM BOTENBERICHT

ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών.
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα σὴν
κάτω διήσει . . . . . .
. . . . . .
ἵει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον.
. . . . . .
τοσαῦτ' ἀκούσας παῖς ἔμαρψεν ἡνίας·
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων
μεθῆκεν, αἳ δ' ἔπταντ' ἐπ' αἰθέρος πτυχάς.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇδε στρέφ' ἅρμα, τῇδε.

96—118 fortsetzung des gespräches zwischen Merops und Phaëthon Aus dem botenbericht über Phaëthons fahrt und untergang: περὶ ὕψους cp. 15, 4 (Εὐριπίδης) ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὑτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε —. τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος ‚ἔλα δὲ — διοίσει' φησίν, εἶθ' ἑξῆς ‚ἵει — ἅρμα τῇδε'. ἆρ' οὐκ ἂν εἴποις ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις ἀνεπτέρωται 3 διοίσει P, verb. Faber 4 lücke nach δρόμον erkannt von O. Jahn 5 παῖς Grotius, τις P 8 ὄπισθεν ὦτα P, verb. Manutius σειρίου P, verb. Rutgers V. L. p. 47 9. 10 ἔλα τῇδε στρέφ' Portus, ἐλατῆρα ἔστρεφ' P

COD. CLAROMONT. blatt II kol 1

(Τρο.) ἦλθον δὲ σὺν σπουδῇ τε κα]ὶ προθυμίᾳ
. . . . . σο . λ ὄψο[μαι.
εἰ γὰρ σφαλεῖσ' ἄρχοντος] οἰκία [τ]ύχοι,
τοῦδ' οἱ κλύοντες πάντες εἰσὶ] δυστυχεῖς.
τῶνδ' εἵνεχ' ἥκω ποιμνίων σταθμοὺς] λιπών, 5
κρύψων σὺν ὑμῖν τόνδε παῖδ'] ἔσω χθονός,
ἵν' ὃς λαβεῖν ἔμελλε τὸν] πλοῦτον δόμων
κόσμον τιν' εἰς τάφον γε καὶ] χοὰς ἄγῃ.
. . . . . ιλοης ἑκών.
ἀλλ' ἐξαλείψατ' εἰ φόνου τι τοῦδ'] ἴχνος 10
καὶ μὴ καπνὸν πρὸς αἰθέρ' ὦδ'] ἀνιέτω·
ἔσω δὲ κρυφθεὶς τοῦ κάτω] χθονὸς σκότου
κείσθω φαεννῷ πρόσθεν ἐγχειρῶν τ]έλει.
μάτην μάτην φθονοῦσι τῇ τυρα]ννίδι
οἱ σμίκρ' ἔχοντες, τῷ νόμῳ δ'] ἐλε[ύ]θεροι· 15
ζηλοῖ ματαίως χὠ πένης τ]ὸν πλούσιον·
σμικρὰ δὲ κρείττων εὐνομουμέ]νη πόλις
μεγάλης, ἵν' ὕβρις ἂν κρατῇ καὶ] μὴ νόμος.
Κλυ. τὸ μὲν πρόθυμον ὅ σ' ἐπόρευ]σεν ἥνεσα·
τὸ μηχανᾶσθαι δ' ὧν με δεῖ τὰ νῦ]ν σοφὴ 20
οὐκ εἰμί, πρόσφορ' οὐδ' ὁρῶ προσ]τάγματα.
Τρο. ἀεὶ γυναικῶν αἵ γε μηχαναὶ] μόνων.
Κλυ. μὴ 'μοί γε· δείσασαι μὲν οὖν] ἀμήχανοι
δοκοῦμεν εἰς ἅπαντα· καὶ] γὰρ αὖ πλοκὴ
τῷ πράγματι πρόσεστιν· ἥσθ]ημαι τόδε. 25
Τρο. κἂν ἥ τις, ὡς λέγουσι, ποικι]λωτέρα,
οὗτοι προδώσω γ' ἔν σε τοῖσι] σοῖς κακοῖς.
Κλυ. πῶς κρύψομεν τὸ δεινόν, ἐν τίνι] σκότῳ,

Τροφεύς, der frühere erzieher (pädagog) des Phaëthon, der freigelassen als bauer lebt, hat den transport der leiche Phaëthons begleitet, von deren auffindung er vielleicht berichtete. Er schliesst seine lange ῥῆσις mit sentenzen. Die bezeichnung Τροφ oder Τρ ist in der scene mit Merops auf der letzten kolumne des zweiten blattes erhalten. Dass es ein mann ist, zeigt λιπών v. 5 und ἑκών v. 9 19ff. personenwechsel ist in dieser partie nirgends durch doppelpunkt bezeichnet. Aber ἥνεσα v. 19 beweist personenwechsel. Auch nach 27 ist er sehr wahrscheinlich. Denn σοῖς κακοῖς kann nicht Kl. sprechen. Ihr gehört die frage ἐν π]οίῳ τάφῳ; aber nicht das ermunternde πειρατέον v. 35 26 λογερα las Blass

ἐξ ὀμμάτων κλέψαντες; ἐν π]οίῳ τάφῳ
πρὶν ἂν πατήρ νιν εἰσίδῃ, ταφή]σεται;
πῶς νιν λαθραίως οἴσομε]ν δι' ἄστεως;
Τρο. συλλαμβάνειν ἄν σοι δοκῶ τὸν] Ἥλιον,
θεῶν εἴ γε παῖδες θεοῖς μέλουσι καὶ] νεκροί.
οὐκ ἔστιν ἀπαγορευτέον πρὸς] τὰς τύχας,
ἀλλ' ὡς τάχιστα τοῦ τι δρᾶ]ν πειρατέον.
(6 verse fehlen)

---

kol. 2 (Κλυ.) πυρός τ' ἐρινὺς ἐν νεκροῖς θερηνυαι
ζῶσ' ἥδ' ἀνίησ' ἀτμὸν ἐμφανῆ [καπνοῦ.
ἀπωλόμην· οὐκ οἶσετ' εἰς δόμους ν[έκυν;
πόσις πόσις μοι πλησίον· γαμηλίους
μολπὰς ἀϋτεῖ παρθένοις ἡγούμενος.
οὐ θᾶσσον; οὐκ ἄμολγον ἐξομόρξετε,
εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών;
ἐπείγετ' εἶα, δμωΐδες· κρύψω δέ νιν
ξεστοῖσι θαλάμοις, ἔνθ' ἐμῷ κεῖται πόσει
χρυσός· μόνῃ δὲ κλῇθρ' ἐγὼ σφραγίζομαι.
ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας
καὶ τόνδ'· Ἀπόλλων δ' ἐν βροτοῖς ὀρθῶς καλῇ,
ὅστις τὰ σιγῶντ' ὀνόματ' οἶδε δαιμόνων.
(Χο.) Ὑμὴν Ὑμήν, str.
τὰν Διὸς οὐρανίαν ἀείδομεν
τὰν ἐρώτων πότνιαν, τὰν παρθένοι[ς
γαμήλιον Ἀφροδίταν.
πότνια, σοὶ τάδ' ἐγὼ νυμφεῖ' ἀείδω,
Κύπρι θεῶν καλλίστα,

---

1 πυρος ϑ cod., verb. Rau θερηνυαι cod., κεραυνίοις Duentzer, viell. ἐρειπίοις 2 καπνοῦ ergänzt Hermann, φλογός Rau; πτισα glaubte Blass zu lesen 3 νέκυν Bekker 4 πόσις (an erster stelle) Bekker, τιθεις las Hase, νοεις Bekker 6 οὐ θᾶσσον; οὐκ ἄμολγον Hermann, οιθασσεουσομολγον cod., οὐ σταλαγμὸν Nauck nach Dobree 8 ἐπείγετ' εἶα, δμωΐδες Hermann, επειγετεαια (od. αη) δμωδες cod. 9 ξειστοισι cod., verb. Burges 11. 12 auch Schol. Eur. Or. 1389 Macrob. Sat. I 17, 10 11 χρυσοφεγγὲς Macr. 12 καὶ τόνδ' Clar., schol. Eur. ὅθεν σ' Ἀπόλλων' ἐμφανῶς κλήζει βροτός Macr. ὀρθῶς Clar. Ἀπόλλων εἰκότως κλήζει βροτοῖς schol. Eur. 15 ειδομεν cod., verb. Hermann 16 παρθενοι oder παρθενον cod. 18 νυμφεῖ' ἀείδω Wil., νυμφια$^{\sigma}$ φα$^{\sigma}$ las Hase 19 Κυπρις cod.

τῷ τε νεόζυγι σῷ
πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις
σῶν γάμων γένναν.

antistr. ἃ τὸν μέγαν
τᾶσδε πόλεως βασιλῆ νυμφεύεται,
ἀστερωποῖσιν δόμοισιν χρύσεον
ἀρχόν, φίλον Ἀφροδίτᾳ.
ὦ μακάρων βασιλεὺς μείζων ἔτ' ὄλβον,
ὃς θεὰν κηδεύσεις
καὶ μόνος ἀθανάτων
γαμβρὸς δι' ἀπείρονα γαῖαν
θνατὸς ὑμνήσῃ.

Μερ. χώρει σὺ καὶ τάσδ' εἰς δόμους ἄγων κόρας
γυναῖκ' ἄνωχθι πᾶσι τοῖς κατὰ στόμα
θεοῖς χορεῦσαι καὶ κυκλώσασθαι δόμους
σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ' ἕδος,
ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι
εὐχὰς πο . . . . . .

(4 verse ganz zerstört)

kol. 3 θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων.
Θεράπων ὦ δέσποτ', ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα.
οὗ γὰρ σὺ σῴζῃ σεμνὰ θησαυρίσματα
χρυσοῦ, δι' ἁρμῶν ἐξαμείβεται πύλης

---

20 τωτενεοζυγισιω (od. στω) cod.; auch wenn man τῷ τε νεόζυγι σοὶ mit Kaibel schreibt, kann nicht Paëthon gemeint sein, wegen σῶν γάμων γένναν, auf das sich ἃ am anfang der antistr. bezieht. Also ist nicht Aphrodite die dem Phaëthon bestimmte braut, sondern ihre tochter. Ginge ἃ auf Aphrodite, so könnte nicht in demselben satze φίλον Ἀφροδίτᾳ stehen. Man muss also annehmen, dass Eur. ὁ πῶλος von einem weiblichen wesen (als ἐπίκοινον) gebraucht 22 γενεαν cod., verb. Hermann 23 ατονμεγαν bezeugt Blass 25 αστερωτοισιν cod., verb. Hermann δομοισι cod. 26 αρχεον cod., verb. Hermann 28 τηδευσεις cod., verb. Hermann 31 υμνησεται cod., verb. Hermann 32 δομος cod. 33 ανοχθι cod. καταστομα cod., κατὰ σταθμὰ Blass, κατὰ στέγας Rau 34 κανκυμωσασθαι cod., verb. Hermann δομοις cod., verb. Hermann 36 γε Fritzsche, τι cod.; τις ἔμφρων Blass πᾶς ἂν ἄρχεσθαι θέλοι Hermann, πασανσαρχεται θε . ι cod., πᾶσιν ἄρχεται θεοῖς Blass 37 εὐχὰς ποιεῖσθαι Hermann 42 προσελθιν cod. 43 ωπατερ cod., δεσποτα vom korrektor übergeschrieben εστρεφα cod., verb. Burges 44 σώζῃ Hermann, ζωση cod. θηραυσμιτα cod., verb. Burges 45 εξαμειβετε cod., verb. Bekker

καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης.
προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός,
γέμοντα δ' οἶκον μέλανος ἔνδοθεν καπνοῦ.
ἀλλ' ἔσιθ' ἐς οἶκον, μή τιν' Ἥφαιστος χόλον
δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρὶ
ἐν τοῖσιν ἡδίστοισι Φαέθοντος γάμοις.
Μερ. πῶς φής; ὅρα μὴ θυμάτων πυρουμένων
κατ' οἶκον ἀτμὸν κεῖσ' ἀποσταλέντ' ἴδῃς.
Θερ. ἅπαντα ταῦτ' ἤθρησ'· ἀκαπνώτως ἔχει.
Μερ. οἶδεν δ' ἐμὴ τάδ' ἢ οὐκ ἐπίσταται δάμαρ;
Θερ. θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας.
Μερ. ἀλλ' εἶμ', ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε
λῃφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν.
σὺ δ' ὦ πυρὸς δέσποινα Δήμητρος κόρη
Ἥφαιστέ τ' ἔστε πρευμενεῖς δόμοις ἐμοῖς.
Χο. τάλαιν' ἐγώ, τάλαινα, ποῖ πόδα
πτερόεντα καταστάσω;
ἀν' αἰθέρ' ἢ γᾶς ὑπὸ κεῦθος ἄφαν-
τον ἐξαμαυρωθῶ;
ἰώ μοί μοι· κακὰ φανήσεται·
βασίλεια τάλαινα παῖς τ' ἔσω
κρυφαῖος νέκυς.
ὀτοτοτοῖ κεραύνιαί τ' ἐκ Διὸς
πυρίβολοι πλαγαὶ λέχεά θ' Ἁλίου.
ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν,
πατρὸς ἵνθι πρόσπεσε
Ὠκεανοῦ κόρα,
γόνυ (λι)ταῖς, σφαγὰς
σφαγὰς οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς.

---

46 καπνοῦ Hermann, καταινου cod. 49 ἀλλ' εσθ cod., verb. Bekker 51 ηδιστοισιν cod. 54 ηθρησεκαπνωτουσεχει cod., verb. Wil. (δ' ἔχει) 55 επισται cod., verb. Bekker 58 μεγαχειμωναδι cod., verb. Hermann 59 ωπυρος cod., ὡς πάρος Bothe 60 ηφαιστεειηρεπευμερεις cod., τ' ἔστε πρευμενεῖς Bothe, τ' εἴητ' εὐμενεῖς Bekker 61 ποῦ πόδα Nauck 63 ἀν' αἰθέρ' Nauck, τιναθερ cod., τίν' αἰθέρ' Hermann 64 εξαμαυρωσω cod., verb. Hermann κατα (oder καια) φανησεται cod., verb. Burges 67 κρυφεον cod., verb. Hermann 69 ταλιου cod., verb. Hermann 73 γονυταισφαγασ cod., verb. Hermann 74 οἰκτρὰς Burges

Μερ. ἰώ μοί μοι
Χορ. ἠκούσατ᾽ ἀρχὰς δεσπότου στεναγμάτων;
Μερ. ἰὼ τέκνον.
Χορ. καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον
. . . . . των ὁρᾶν σαφῆ.
(3 verse in dieser kol. fehlen)

---

kol. 4 δια
δ̣ς ὑμεν
εὐκελ
ὡς οὐρα]ν
σὺ δὲ παρ
δα
οὐκειοι
ὑμεναιο
(versanfänge 9—19 nicht mitteilungswert)
καλεῖτε
δ̣ς ἐμὰν
κακὰ δὲ
Χο. δ̣δ᾽ ἐκ δό[μων πάρεστι τῆσδε γῆς ἄναξ
παιδὸς φ[θαρέντος χερσὶ βαστάζων νέκυν.
Μερ. εἶεν σὺ [μίμνε· καὶ γὰρ ἐλπίζω σ᾽ ὁρῶν
ὡς εἰσό[μεσθα τίς ὅ γε τοιαύτην λαβὼν
οἵαν ἔκ[ευθε τόλμαν, ὃς δὴ παῖδ᾽ ἐμόν,
θεᾶς δὲ [γαμβρὸν πυρὶ φλέγων ἀπώλεσεν.
Τρο. ὤμοι.
Μερ. στέναξ[ον· εἰπὲ δ᾽ ὅτι σέθεν θέλω μαθεῖν.
Τρο. αἰαῖ.
Μερ. διπλᾶ δ[ακρύσεις μὴ φράσας ἅ σ᾽ ἠρόμην.
Τρο. τί γὰρ λέ[γειν μ᾽ ἄνωγας, ἅ γε σιγᾶν χρεών;
Μερ. τίς παῖδ᾽[ἀεικῶς τὸν ἐμὸν ὦδ᾽ ἀπώλεσεν;
Τρο. εἰδὼς δ[έδοικα τὸ γεγονὸς σαφῶς φράσαι.
Μερ. ἵν᾽ ἀνται[μείψῃ μοι σαφῆ, τῷδ᾽ ἱστορῶ.

---

79 vor των ein rest von α, davor vielleicht ψ (nicht μ) 24 die ergänzung nur beispielshalber; dass Merops die leiche des Phaëthon trägt, ist keineswegs sicher 28 ἔκευθε, das richtige bleibt noch zu finden

Τρο. σμικρῷ [μ' ἀπαιτεῖς οἰκτρὰ πόλλ' εἰπεῖν λόγῳ
Μερ. κρεῖσσόν [σέ γ' ὅστις αἴτιος λέγειν ἁπλῶς.
Τρο. ὃς σέθ[εν ἀμείνων, Ζεὺς πατήρ νιν ὤλεσεν.
(2 verse fehlen)

KLEINERE BRUCHSTÜCKE

1. ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους,
πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.

---

2. δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι· τί ποτε τοῦδέ γ' αἴτιον;
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης

---

3. ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

---

4. εὐδαιμονίζων ὄχλος ἐξέπληξέ με.

---

5. ψυκτήρια
δένδρεα φίλαις ⟨ν⟩ιν ὠλέναισι δέξεται.

---

6. ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν,
ὅστις *τῶν πατέρων* παισὶ μὴ φρονοῦσιν εὖ
ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν.

---

1. Eustath. Od. p. 1731, 54. Fr. 775 Nk. Eust.: ἐν Φαέθοντι Εὐριπίδης εἰπών. Worte Phaëthons in dem gespräch mit Merops **2.** Stob. Flor. 93, 2. Fr. 776 Nk. Lemma: Εὐριπίδου Φαέθοντι 1 δ' ἔμφυτον τόδε oder δ' ἐστὶν ἔμφυτον Meineke 2 τοῦ δέ γ' αἴτιον Nauck, τοῦδε ταῖτιον Arsenius, τοῦτο ταῖτιον Stob. 3 συνηρεφεῖ Stob., verb. Meineke καὶ τῆς τύχης verderbt. Worte, die sich auf Merops beziehen **3.** Stob. Flor. 40, 2. Fr. 777 Nk. Lemma: Εὐριπίδου Φαέθοντι **4.** Plut. περὶ εὐθυμίας 1. Fr. 778 Nk. Plut.: τὸ τοῦ τραγικοῦ Μέροπος οὐ πέπονθας οὐδ' ὡς ἐκεῖνον ‚εὐδαιμονίζων ὄχλος ἐξέπληξέ σε' τῶν φυσικῶν παθῶν. Dem 'Phaëthon' zugeteilt von Meineke. Auch das σε könnte euripideisch sein **5.** Athen. XI 503 d. Fr. 782 Nk. Lemma: Εὐριπίδης Φαέθοντι. Beleg für ψυκτήρια = ἀλσώδεις καὶ σύσκιοι τόποι οἱ τοῖς θεοῖς ἀνειμένοι, ἐν οἷς ἔστιν ἀναψῦξαι 2 δένδρη Valckenaer, δένδρων Dobree φίλαις ⟨ν⟩ιν A., φιλαισιν Athen. λέξεται cod. A, verb. Casaub. Begräbnisstätte Phaëthons? **6.** Stob. Flor. 43, 2. Fr. 783 Nk. Lemma: Εὐριπίδης Φαέθοντι 2 ὅστις πατὴρ ὤν Grotius, ὅστις παρείκων F. G. Schmidt

7. (Κλυ.) μισῶ δὲ . . . . . εὐάγκαλον
τόξον κρανείας, γυμνάσια δ' οἰχοί(α)το.

ANHANG
AUS DEM 'ARCHELAOS' DES EURIPIDES

]ν μεν[
φ]ρονημα[τ
]κτεινοντ' ἀχ[
]αρως ἔμελλε π̣[
]ηθεις παρφτε[5
ἀλλὰ, Φοῖ]β' ἄναξ, κάθιζε π̣[
οὐ τόδ' αἰ]τῶ, παῖ, προβάλλ̣[ειν τὸν βίον σ' ἀνωφελῶς·
ἓν δέ σοι μό]νον προφωνῶ[· μή 'πὶ δουλείαν ποτε
ζῶν ἑκὼν] ἔλθῃς παρόν σο[ι κατθανεῖν ἐλευθέρως.
]τῶν ἔσωθεν κᾶ[10
]ν· εἰ δ' εὐτυχήσουσ' [
]ἔστω τὸ λοιπὸν [
ἄ]νδρα χρὴ δι̣α̣ τ̣ων[
]ν ἁμεραν [
]ει γὰρ αἱ τύχα[ι 15
]ι τὸν θρεῦ[

7. Plut. consol. ad uxorem 3 p. 608 E. Fr. 784 Nk Plut.: ἀλλὰ δέδια πάλιν μὴ συνεκβάλωμεν τῷ λυποῦντι τὴν μνήμην ὥσπερ ἡ Κλυμένη λέγουσα· „μισῶ δ' εὐάγκαλον — οἴχοιτο" 1 ἀγκύλον für εὐάγκαλον Nauck, der die lücke annimmt οἰχοίατο C. Keil, οἴχοιτο Plut. Oxyrh. Pap. vol. III p. 66 no. 419 8. 9 Stob. Flor. 7, 5 Meineke Εὐριπίδης Ἀρχελάῳ

INHALT

		Seite
1.	SATYROS' LEBEN DES EURIPIDES	3
2.	EURIPIDES' ANTIOPE	9
3.	„ KRETER	22
4.	„ MELANIPPE ἡ σοφή	25
5.	„ MELANIPPE ἡ δεσμῶτις	28
6.	„ OINEUS	36
7.	KRITIAS' ODER EURIPIDES' PEIRITHOOS	40
8.	EURIPIDES' STHENEBOIA	43
9.	„ HYPSIPYLE	46
10.	„ PHAËTHON	67
Anhang:	NEUES BRUCHSTÜCK AUS EURIPIDES' ARCHELAOS	80

Frommannsche Hofbuchdruckerei (Hermann Pohle) in Jena — 4222

A. Marcus und E. Webers Verlag in Bonn

Das Jenseits im Mythos der Hellenen

Untersuchungen über antiken Jenseitsglauben

von

Prof. Dr. L. Radermacher

VIII und 152 Seiten. 1903. 3 Mark

Die Untersuchung beschäftigt sich zunächst mit der Komposition der antiken Nekyien und zeigt, daß das elfte Buch der Odyssee trotz der disparaten Elemente, aus denen es sich zusammensetzt, dem antiken Leser keinen Anstoß bieten konnte, weil naive Jenseitsdichtung überhaupt mit den verschiedenen Vorstellungen sehr frei schaltete. Das sechste Buch der Äneis ist anders, und es wird versucht, die Geschlossenheit seiner Grundanschauung in einem bestimmten, strittigen Falle zu erweisen. Der zweite Teil verfolgt das Motiv der Fahrt ins Jenseits, und zieht, um den Kern antiker Sagen zu gewinnen, mehrfach moderne Märchen heran. Der dritte Teil wendet sich der Frage zu, inwieweit der immer mehr erstarkende Glaube an einen unterirdischen Hades Elemente aus anderen Vorstellungskreisen an sich riß, und behandelt im Zusammenhang damit auch einzelne Figuren der Unterweltsdämonologie. Vier Exkurse, Orestes und die Tragödie — Zur alttestamentlichen Simsonlegende — Vom Kampf mit dem Tode — Grenzwasser der Unterwelt, machen den Schluß.

A. MARCUS UND E. WEBERS VERLAG, BONN

ARX ATHENARVM

A PAVSANIA DESCRIPTA

IN VSVM SCHOLARVM

EDIDERVNT

OTTO JAHN ET ADOLFVS MICHAELIS

EDITIO TERTIA ACTIS ARCIS ET FASCICVLO TABVLARVM AVCTA

PREIS MIT ATLAS 10.— MARK

A. MARCUS UND E. WEBERS VERLAG, BONN

SOPHOCLIS ELECTRA

IN USUM SCHOLARUM EDIDIT

OTTO JAHN

EDITIO TERTIA CURATA AB

ADOLFO MICHAELIS

VII, 175 S. 1882. **PREIS 3.60 M.**

MIT 5 HOLZSCHNITTEN
UND EINER PHOTOLITHOGRAPHIE

A. Marcus und E. Weber's Verlag, Bonn

TABVLAE IN VSVM SCHOLARVM

EDITAE SVB CVRA

IOHANNIS LIETZMANN

Erschienen sind:

1. SPECIMINA CODICVM GRAECORVM VATICANORVM collegerunt PIVS FRANCHI DE' CAVALIERI et IOHANNES LIETZMANN. 1910. XVI S. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M., Vorzugsexemplare in Pergament 12 M.
2. PAPYRI GRAECAE BEROLINENSES collegit WILHELM SCHVBART. 1911. XXXIV S. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M., Vorzugsexemplare in Pergament 12 M.
3. SPECIMINA CODICVM LATINORVM VATICANORVM collegerunt FRANCISCVS EHRLE S. J. et PAVLVS LIEBAERT. XXXVI S. 1911. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M., Vorzugsexemplare in Pergament 12 M.
4. INSCRIPTIONES LATINAE collegit ERNESTVS DIEHL. 1912. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M., Vorzugsexemplare in Pergament 12 M.
5. HANDSCHRIFTEN DER REFORMATIONSZEIT ausgewählt von Prof. Dr. G. MENTZ. 1912. XXXVIII S. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M., Vorzugsexemplare in Pergament 12 M.
6. ANTIKE PORTRÄTS bearb. von RICH. DELBRÜCK. LXX S. (mit 41 Abbild.). 62 Tafeln in Lichtdruck. 1912. In Leinenband 12 M., Vorzugsexemplare in Pergament 20 M.

KLEINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
III

AUSWAHL AUS DEN ILIASSCHOLIEN

ZUR EINFÜHRUNG IN DIE ANTIKE HOMERPHILOLOGIE

AUSGEWÄHLT UND GEORDNET
VON
WILHELM DEECKE

BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1912

Da mir für die auswahl aus den Iliasscholien nur ein ziemlich kleiner raum zur verfügung stand, konnte von einer solchen, die man bei der Homerlektüre hätte zu hilfe nehmen können, nicht die rede sein. Auch so machte der in aussicht genommene umfang es unmöglich, irgend einen abschnitt erschöpfend zu behandeln. Die absicht konnte nur sein, durch die auswahl dem leser wenn möglich ein bild von der persönlichkeit und wirksamkeit der einzelnen gelehrten bezw. der art und dem werte der scholiengattungen zu geben. Mitunter, z. b. bei aufnahme der stellen, wo von einer μετάθεσις Aristarchs die rede ist, oder derer, wo es sich um fragen der interpungierung handelt, ohne daß Nikanor vorliegt, habe ich geglaubt, über diesen gesichtspunkt hinausgehen zu dürfen, da derartige zusammenstellungen doch wohl immer wünschenswert sind.

Für die D-scholien ist die Barnesiana benutzt; im übrigen verweise ich auf die anmerkungen. Das lemma habe ich oft dem inhalt des scholions entsprechend abgeändert, ohne dies zu notieren, mitunter auch keins gesetzt, wenn es zu umfangreich hätte werden müssen. Für die gestaltung des textes unwesentliche korruptelen und varianten, wie z. b. itacistische schreibungen oder setzung oder fortlassung des artikels vor eigennamen in einer handschrift, habe ich teilweise, wo wir nicht etwa ein interesse daran haben, die überlieferung verschiedener handschriften zu vergleichen, fortgelassen.

A. Die textkritik der Alexandriner.

I. Quellenmaterial der Alexandriner.

Γ 308. Αἱ διὰ τῶν πόλεων «λίπωνται» εἶχον ἀντὶ τοῦ γένωνται. A.

Ω 82. κῆρα φέρουσα] ἔνιαι τῶν κατὰ πόλεις «ἐπ' ἰχθύσι πῆμα φέρουσα». ἄτοπον γὰρ ἐπ' ἰχθύων κῆρα λέγειν. A.

Ψ 88. ἀμφ' ἀστραγάλοισι χολωθείς] αἱ πλείους τῶν κατὰ ἄνδρα «ἀμφ' ἀστραγάλῃσιν ἐρίσσας». καὶ ἔστιν Ἰωνικώτερον. «ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κυδοιμοί». Ἀνακρέων. A.

Α 298. μαχήσομαι] οὕτως διὰ τοῦ η̄, οὐ διὰ τοῦ ε͞ι, καὶ ἡ Μασσαλιωτικὴ καὶ ἡ Ἀργολικὴ καὶ ἡ Σινωπικὴ καὶ ἡ Ἀντιμάχου καὶ ἡ Ἀριστοφάνους. A.

Α 381. ἐπεὶ μάλα οἱ φίλος ἦεν] Σέλευκός φησιν ἐν τῇ Κυπρίᾳ καὶ Κρητικῇ ‹φέρεσθαι› «ἐπεί ῥά νύ φίλος ἦεν». καὶ Θεαγένης δὲ οὕτως προφέρεται. ἀπίθανον γὰρ τὸ ‹ὁ δέ νυ λίαν φίλος ἦεν›. A.

Ω 71/3. τὸ δὲ «ἐάσομεν» νῦν ἀντὶ τοῦ παρῶμεν, οἷον μηδὲ λέγωμεν· ὅπερ ἀγνοήσαντες οἱ περὶ Ἀντίμαχον ἐποίησαν «κλέψαι μὲν ἀμήχανον». A.

Ψ 604. νεοίη] οἱ περὶ Ἀντίμαχον «νόημα» γράφουσιν. *A.

Α 258. οἱ περὶ μὲν βουλῇ] διὰ τοῦ ν̄ «βουλήν», οὐ διὰ τοῦ ῑ. οὕτως Ἀρίσταρχος καὶ ἐν τῇ πολυστίχῳ. *A.

Γ 331. καί μιν φωνήσας] παρὰ Ζηνοδότῳ «καί μιν νεικείων», παρὰ Ῥιανῷ «τὸν καὶ νεικείων». *A.

Α 1. ἡ δὲ δοκοῦσα ἀρχαία Ἰλιάς, ἡ λεγομένη Ἀπελλικῶντος, προοίμιον ἔχει τοῦτο· «Μούσας ἀείδω καὶ Ἀπόλλωνα

8 ἐρίσσας T, ἐρύσας A. 19 suppl. Ludwich. Did. pg. 192. 25 Üb. Rhianos u. Aristophanes s. u. Aristoph.

13 ἡ Ἀντιμάχου] vgl. auch A 424 (Aristarch 1).

κλυτότοξον», ὡς καὶ Νικάνωρ μέμνηται καὶ Κράτης ἐν τοῖς Διορθωτικοῖς. Ἀριστόξενος δὲ ἐν α΄ Πραξιδαμαντείων φησὶ κατά τινας ἔχειν· «Ἔσπετε νῦν μοι, μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι, ὅππως δὴ μῆνίς τε χόλος θ' ἕλε Πηλείωνα Λητοῦς 5 ⟨τ'⟩ ἀγλαὸν υἱόν. ὁ γὰρ βασιλῆι χολωθείς . . .» Romanus.

II. Zenodots rezension im gegensatz zu der Aristarchs.

1. Sprache und dialekt.

Α 530. ὅτι Ζηνόδοτος γράφει «κρητός». οὐκ ἔστι 10 δὲ Ἰακόν· «ἀψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος» (θ 92). A.

Α 198. ὅτι Ζηνόδοτος γράφει «ὁρῆτο». τοῦτο δὲ Δώριον. *A.

Α 271. κατ' ἐμ' αὐτόν] ὅτι Ζηνόδοτος γράφει «κατ' ἐμωυτόν». τὸ δὲ πλῆρες ἐμὲ αὐτόν. *A.

15 Κ 1. ἄλλοι μέν] παραιτητέον τοὺς γράφοντας, ὧν ἐστὶ καὶ Ζηνόδοτος, «ὧλλοι μέν», ἢ καὶ τοὺς ὁπωσοῦν βουλομένους δασύνειν. ἔστι γὰρ ὁ ποιητὴς παραλειπτικὸς τῶν ἄρθρων. A.

Α 80. κρείσσων] ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν̄ 20 γράφει. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἔχει ἐπὶ τῆς εὐθείας τὸ ν̄. *A.

Α 249. ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν̄ «γλυκίω», τὰ δὲ τοιαῦτα συγκριτικὰ ἔχει τὸ ν̄. *A.

Μ 231. Πουλυδάμα] αἱ Ἀριστάρχου χωρὶς τοῦ ν̄, παρὰ τὴν ἀναλογίαν· Ζηνόδοτος δὲ καὶ Χαμαιλέων σὺν τῷ ν̄, 25 Πουλυδάμαν. A.

Θ 378. προφανείσα] δυϊκῶς· Ἀρίσταρχος δὲ «προφανέντε» ὡς «πληγέντε κεραυνῷ» (455). ὁ δὲ Ζηνόδοτος «γηθήσει προφανεῖσας ἰδὼν ἐς δοῦπον ἀκόντων» συστέλλων

10 Daß diese «widerlegungen» der ansichten Zenodots auf Aristarch selbst zurückgehen, beweisen die scholl. zu Ξ 499 u. B 144 (s. 5). Daher sind scholl. Ariston. zu A 80 u. 249 (s. u.) völlig gleichlautend. 25 Mit recht nehmen Bekker (Ed. II) und Nauck Πουλυδάμαν in den text auf (man vgl. Αἴαν); Πουλυδάμαν ist an allen vier stellen (Ξ 470, -αγ καί; N 571; Σ 285) herzustellen.

20 εὐσύγκριτα A, corr. Dind. ex schol. A 249.

τὸ σας ὡς Δωρικώτερον, ὡς τὸ «λαγέτας . . . υἱούς» (Pind. Ol. 1, 145) καὶ «τροπὰς ἠελίοιο» (Hes. Opp. 564). T.

E 638. ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην] ὅτι τὸ οἷον ἐπὶ θαυμασμοῦ. τινὲς δὲ ἀλλοῖον, παρὰ τοὺς νῦν. Ζηνόδοτος δὲ καὶ ἀμέτρως γράφει Ἡρακλείην. A.

Θ 470. ἠοῦς δή] ὅτι Ζηνόδοτος γράφει «ἄας δὴ καὶ μᾶλλον» ἀντὶ τοῦ ἐσαύριον. ἔστι δὲ ἡ λέξις οὐχ Ὁμηρική. A.

M 365. αὐτίκ' Ὀιλιάδην] ὅτι Ζηνόδοτος γράφει «αὐτίκ' ἄρ' Ἰλιάδην» κτέ. A.

N 712. οὐδ' ἄρ' Ὀιλιάδῃ] ὅτι Ζηνόδοτος γράφει «ἀλλ οὐκ Ἰλιάδῃ κτέ. A.

Ξ 499. ὁ δὲ φῆ κώδειαν ἀνασχών] ὁ μὲν Ζηνόδοτος καὶ τὸν «δέ» καὶ τὸν «φή» ἐγκλίνει, ἵνα τὸ «φή» ταὐτὸν ὑπάρχῃ τῷ ὡς καὶ τὸ μεταλαμβανόμενον τοιοῦτον ᾖ· ὁ δὲ ὡς κώδειαν ἀνασχὼν πέφραδέ τε Τρώεσσιν'. ὁ δὲ Ἀρίσταρχος ἐκδεξάμενος τὸ ἔφη ῥῆμα ὁμοίως τῷ ἔβη, δοκεῖ ἀθετεῖν τὸν δεύτερον στίχον. ὅπερ οὐκ ἀναγκαῖον· [ποιητικὸν γὰρ ἔθος τὸ πολλάκις τὸ αὐτὸ ἐπαναλαμβάνεσθαι.] πρὸς δὲ τὸν Ζηνόδοτον ὑγιῶς ἀποφαίνεται ἐκεῖνο, ὅτι ὁ ποιητὴς οὐδέποτε οἶδε τὸ φή ἀντὶ τοῦ ὡς, οἱ δὲ μετ' αὐτόν, ὥσπερ Ἀντίμαχος καὶ οἱ περὶ Καλλίμαχον. A.

B 144. ὡς κύματα] ὅτι Ζηνόδοτος γράφει «φὴ κύματα». οὐδέποτε δὲ Ὅμηρος τὸ φή ἀντὶ τοῦ ὡς τέταχεν. A.

Σ 247. τρόμος] Ζηνόδοτος «φόβος», κακῶς, ἀγνοῶν, ὅτι φόβος ἐστὶ καθ' Ὅμηρον ἡ μετὰ δέους φυγή. διὸ ἡ διπλῆ. A.

T 14. ἕλε τρόμος] ὅτι Ζηνόδοτος γράφει «ἕλεν φόβος». καθ' Ὅμηρον δέ ἐστι φόβος ἡ φυγή. A.

Λ 528. κεῖσ' ἵππους — ἰθύνομεν] ὅτι Ζηνόδοτος γράφει «κεῖθ' ἵππους» κτέ. A.

---

2 B schreibt προφανείσα dem Aristarch, προφανείσας dem Herodian zu. A wendet sich folgendermaßen gegen Zenodot: ἔστι δὲ ἄκρατον Δώριον. σπάνιον δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ. 4 τινές] Daß Zenodot einer von ihnen war, folgt aus καὶ ἀμέτρως. 5 d. i. Ἡρακλεῖην. 9 Die aristarchäische entgegnung habe ich, wo sie wertlos ist, öfter fortgelassen. 20 u. 23 οὐδέποτε: Zenodot würde seinen gegnern eben diese zwei stellen als gegenbeweis angeführt haben.

18 A Didymo abiudicavi et uncis inclusi Ludwichium secutus (Did. pg. 382).

M 348. εἰ δέ σφιν καὶ κεῖθι πόνος . . . ὄρωρεν] ὅτι Ζηνόδοτος γράφει «εἰ δέ σφιν κἀκεῖσε» κτέ. A.

M 368. αὐτὰρ ἐγὼ κεῖσ' εἶμι] ὅτι Ζηνόδοτος γράφει «κεῖθι» κτέ. A.

Ψ 461. αἳ κεῖσέ γε φέρτεραι ἦσαν] Ζηνόδοτος καὶ Ἀριστοφάνης «κεῖθι»· καὶ ἔστιν ἀναλογώτερον.

B 36. ἆ ῥ' οὐ τελέεσθαι ἔμελλεν] ἡ Ζηνοδότειος γραφὴ διὰ τοῦ ε̄· οἱ δὲ διὰ τοῦ ο̄. T.

ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι «ἔμελλον»· ἡμεῖς δὲ ἐροῦμεν «ἔμελλεν» ἑνικῶς. A.

Θ 503. πειθώμεθα . . . δόρπα τ' ἐφοπλισόμεσθα] ὅτι Ζηνόδοτος γράφει «ἐφοπλίζεσθον» κτέ. *A.

Z 112. ὅτι Ζηνόδοτος γράφει «ἀνέρες ἔστε θεοὶ καὶ ἀμύνετον ἄστεϊ λώβην» κτέ. A.

A 83. φράσαι, εἰ] ὅτι Ζηνόδοτος γράφει «φράσον». μᾶλλον δὲ τὸ «φράσαι» ἁρμόζει. *A.

N 449. ὄφρα ἴδῃς, οἷος] οὕτω Ζηνόδοτος· Ἀρίσταρχος δὲ «ἴδῃ» διὰ τοῦ ῑ. T.

A 24. Ἀγαμέμνονι ἤνδανε θυμῷ] ὅτι Ζηνόδοτος γράφει «ἀλλ' οὐκ Ἀτρεΐδεω Ἀγαμέμνονος» κτέ. *A.

E 146. τὸν δ' ἕτερον . . . κληῖδα . . . πλῆξ'] ὅτι Ζηνόδοτος γράφει «τοῦ δ' ἑτέρου». ὁ δὲ ποιητὴς οὕτως λέγει «ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα» (A 197). *A.

Ξ 208. κείνω . . . παραιπεπιθοῦσα φίλον κῆρ] κείνων σὺν τῷ ν̄ Ἀριστοφάνης καὶ Ζηνόδοτος. Ἀρίσταρχος δὲ ὁμηρικώτερόν φησιν εἶναι, εἰ κείνους παραπείσασα τὴν ψυχήν· ἐγχωρεῖν δὲ καὶ μετὰ τοῦ ν̄, εἰ κείνων τὸ κῆρ πείσασα. οὐ δεῖ δὲ ξενίζεσθαι ἐπὶ ταῖς τῶν πτώσεων ἐναλλαγαῖς. A.

---

1 Vgl. M 359. 9 Aristarch setzt im gegensatz zu Zenodot oft das verbum in den plural, wenn das subjekt ein neutr. plur. ist (s. auch unt. Aristarch). 10 Wahrscheinlich ist es kein zufall, daß durch aufnahme des duals Θ 503, Z 112, des aktivums A 83, N 449 ein hiat beseitigt wird. Ebenso urteilt Robert (Stud. z. Il. 499) über die duale Θ 186 und 191. Für Aristarchs stellung zum hiat vgl. auch schol. A zu H 452 (Aristarch 1). 16 Vgl. A 203.

8 ἡ διπλῆ scholio praefixa. 19 Ἀγαμέμνονος add. Dind.

2. Beseitigung von widersprüchen und anstößigen ausdrücken durch aufnahme von — voralexandrinischen — konjekturen.

Δ 339. κερδαλεόφρον] ὅτι Ζηνόδοτος γράφει «φαίδιμ' Ὀδυσσεῦ» κτέ. *A.

Λ 123. Ἀντιμάχοιο δαΐφρονος] Ζηνόδοτος γράφει «κακόφρονος», εὐτελῶς. *A.

N 246. θεράπων ἐΰς (scil. Μηριόνης)] Ζηνόδοτος καὶ Ἀριστοφάνης «δουρίκλυτος». *A.

A 299. ἐπεί μ' ἀφέλεσθέ γε δόντες] ὅτι Ζηνόδοτος γράφει «ἐπεί ῥ ἐθέλεις ἀφελέσθαι» κτέ. A.

B 484. Ὀλύμπια δώματ' ἔχουσαι] ὅτι Ζηνόδοτος γράφει «Ὀλυμπιάδες βαθυκόλποι». οὐδέποτε δὲ τὰς Ἑλληνίδας γυναῖκας βαθυκόλπους εἴρηκεν, ὥστε οὐδὲ τὰς Μούσας. A.

B 507. Ἄρνην] ὅτι Ζηνόδοτος γράφει «Ἄσκρην ἔχον». οὐ δύναται δὲ πολυστάφελος ἡ Ἄσκρη λέγεσθαι κτέ. A.

A 222. ἐν Θρήκῃ . . . μητέρι μήλων] Ζηνόδοτος «μητέρι θηρῶν» κτέ. A.

A 400. Παλλὰς Ἀθήνη] ὅτι Ζηνόδοτος γράφει «Φοῖβος Ἀπόλλων». ἀφαιρεῖται δὲ τὸ πιθανόν· ἐπίτηδες γὰρ τοὺς τοῖς Ἕλλησι βοηθοῦντας θεοὺς ἠχθρευκέναι Διί φησιν, ἵνα μᾶλλον ἀκούοιτο Θέτις. A.

B 502. Θίσβην] ὅτι Ζηνόδοτος γράφει «Μέσσην». ἔστι δὲ ἡ Μέσση τῆς Λακωνικῆς, ἣν ἐν ἄλλοις Μεσσήνην καλεῖ. A.

3. Ausgedehntere abweichungen der zenodoteischen und der aristarcheischen überlieferung.

Π 432. ὅτι Ζηνόδοτος καθόλου περιγράφει τὴν ὁμιλίαν τοῦ Διὸς καὶ τῆς Ἥρας (432/68), οὐκ αἰσθόμενος, ὅτι πολλὰ

18 Bei A 400 u. B 502 halte ich Zenodots lesart für die ursprüngliche. Üb. A 400 vgl. Bresl. Magd. Gymn. Progr. 1910, S. 5 f. Vgl. schol. A zu Φ 144. Ähnlich liegt die sache bei B 502. Zenodots lesart war anstößig und wurde daher geändert. Vgl. Strab. IX 405 üb. Νῖσα (B 508): Οἴονται δέ τινες δεῖν γράφειν «Ἶσον». τινὲς δὲ γράφουσιν «Κρεῦσαν». ἄλλοι δὲ Φάρας τε ζαθέας. 26 In den folgenden fällen beschränkt sich die abweichung nicht auf eine stelle, sondern sie hat eine oder mehrere andere im gefolge.

20 θεοὺς — Θέτις om. A, add. Bekker et Dind. ex nescio quo codice (L?).

κατὰ συμπέρασμα λέγει ὁ ποιητὴς σιωπωμένως γεγονότα. καὶ οὐ δέον ἐπιζητεῖν, πῶς ἡ μικρὸν ἔμπροσθεν (O 79) ἐπὶ τὸν Ὄλυμπον παρακεχωρηκυῖα νῦν ἐπὶ τῆς Ἴδης ἐστίν. A.

Π 666. ὅτι Ζηνόδοτος καὶ ἐνταῦθα διεσκεύακε γράφων· «καὶ τότ' ἄρ' ἐξ Ἴδης προσέφη Ζεὺς ὃν φίλον υἱόν», ἵν' ἐκ τῆς Ἴδης προσφωνῇ τὸν ἐν τῷ πεδίῳ Ἀπόλλωνα. γελοῖον δὲ τὸ κραυγάζειν ἀπὸ τῆς Ἴδης τὸν Δία. οὐ νενόηκεν οὖν, ὅτι τὰ τοιαῦτα κατὰ τὸ σιωπώμενον ἐνεργούμενα δεῖ παραδέχεσθαι, καθάπερ καὶ ἐν τοῖς ἐπάνω περὶ τῆς Ἥρας. A.

Π 668. μήποτε δὲ Ζηνόδοτος ὀρθῶς ἠθέτηκε τούτους. παράλογον γὰρ τὸν ἀπενθῆ τοιαῦτα διακονεῖσθαι. A.

P 456. ἐνέπνευσεν μένος ἠύ (scil. Ζεύς)] οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ «μένος πολυθαρσὲς ἐνῆκεν» καὶ προστίθησιν «αὐτὸς δ' Οὐλυμπόνδε μετ' ἀθανάτους ἐβεβήκει. T.

P 595. τὴν (Ἴδην) δ' ἐτίναξε] ὅτι Ζηνόδοτος γράφει «γῆν δ' ἐτίναξε». ταύτην γὰρ ἐπισείων ἀνέμους ποιεῖ. διὸ λέγει· «αὐτὸς ἐπισσείησιν ἐρεμνὴν αἰγίδα πᾶσιν» (Δ 167). A.

B 55. ὅτι Ζηνόδοτος γράφει «αὐτὰρ ἐπεί ῥ ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων». ἀπίθανον δὲ ἐν ἑπτὰ ὀρθὸν δημηγορεῖν. A.

B 76. ἀπὸ τούτου ἕως τοῦ «ἀλλ' ἄγετ', αἴ κέν πως» (83) ἀθετοῦνται (scil. ὑπ' Ἀριστάρχου) στίχοι ὀκτώ, ὅτι οὐκ ὀρθοῦ εἰρηκότος τοῦ Ἀγαμέμνονος λέγει «ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο» κτέ. A.

B 53. βουλήν] αἱ πλείους καὶ χαριέσταται δίχα τοῦ ν «βουλή». καὶ ἡ Ἀριστοφάνους. ἐν δὲ ταῖς κοιναῖς ἐγέγραπτο καὶ τῇ Ζηνοδοτείῳ «βουλήν». ἀστειοτέρα δὲ ἡ χωρὶς τοῦ ν καὶ Ἀριστάρχειος. A.

P 153. κύνας ἔτλης] ὅτι Ζηνόδοτος γράφει «κύον ἔτλης». ἄλογον δέ. *A (Ariston.).

---

13 μέν. πολ. ἐν.] Eine so gleichgiltige änderung willkürlich vorgenommen zu haben wird wohl niemand Zenodot zutrauen. Es handelt sich eben um eine voralexandrinische variante. 18 Entsprechend ihrer fassung des verses 55 urteilen Zenodot und Aristarch über 76—83 ebenfalls verschieden. Die athetese von 76/83 darf also nicht von der lesart im verse 55 getrennt werden. Das schol. zu 53 ist wegen der quellenangabe interessant (Progr. Bresl. Magd. G. 1910, S. 9ff.; s. dort auch üb. Γ 396/418 und 423/6).

14 sic La Roche pro ἀθανάτοισι βεβήκει. 16 post ἐτίναξε add. Lehrs. ⟨οὐκ εὖ⟩ 22 ὅτι καὶ A, καὶ del. Pluygers.

P 171. ὦ πόποι] παρὰ Ζηνοδότῳ «ὦ πέπον», οὐ κακῶς. *A (Did.).

4. Ζηνόδοτος περιγράφει, συντέμνει, ἦρκε.

Π 93. ὅτι Ζηνόδοτος κατὰ τὸ ἑξῆς τέσσαρας ἀπὸ τούτου ἦρκε, γράφει δὲ ἀντὶ αὐτῶν τοῦτον· «μή σ' ἀπογυμνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ. ἔστι δὲ εὐτελὴς καὶ τῇ συνθέσει καὶ τῇ διανοίᾳ. A.

Π 93/6. τοὺς δ' ἀθετεῖ Ζηνόδοτος καὶ ἀντ' αὐτῶν γράφει «μή σ' ἀπομουνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ», ὃν παρῳδεῖ Διονύσιος ὁ Θρᾷξ, ἀντὶ τοῦ «λάβῃ» ‹δάκῃ› λέγων. T.

B 156/69. Ζηνόδοτος οὕτως ἐπισυντέτμηκεν «εἰ μὴ Ἀθηναίη λαοσσόος ἦλθ' ἀπ' Ὀλύμπου. εὗρεν ἔπειτ' Ὀδυσῆα» καθόλου τὸν τῆς Ἥρας λόγον περιγράψας Ὁμηρικῶς ἔχοντα κτέ. A.

5. τινές etc. = Zenodot.

Ε 293. ἐξέσυτο] «ἐξελύθη» Ἀρίσταρχος· Ζηνόδοτος δὲ «ἐξεσύθη». T.

οὕτως Ἀρίσταρχος «ἐξελύθη». ἄλλοι δὲ «ἐξεσύθη». *A.

Η 451. οὕτως Ἀρίσταρχος «ὅσην τ' ἐπικίδναται ὀλυκῶς, Ζηνοδότειος δὲ ἡ «ὅσον τ' ἐπικίδναται». A.

Ἀρίσταρχος «ὅσην», ἄλλοι δὲ «ὅσον». *A.

Π 688. ὅτι τινὲς χωρὶς τοῦ ν γράφουσι «κρείσσω» κτέ. A.

---

1 cf. O 467. ὦ πόποι] ἐν ἄλλῳ «ὦ πέπον.» 3 Über Zenodots athetesen s. Aristarch; hier folgen nur ein paar stellen, an denen sich nur mit beziehung auf Zenodot gebrauchte termini finden. 5 ἦρκε] vgl. schol. A zu Π 89 u. H 482. 14 περιγράφειν findet sich außerdem schol. A 794/5 u. Π 432 (s. s. 7). Nach schol. B 161 (Ἀργείην Ἑλένην] ὅτι Ζηνόδοτος γράφει «Ἀργείην δ' Ἑλένην» σὺν τῷ συνδέσμῳ κτέ. A.) ist περιγράφειν, so nahe diese annahme liegt, nicht gleichbedeutend mit οὐδὲ γράφειν, falls sich nicht etwa dies scholion auf 177 = 161 bezieht. 15 Schol. I 14 (περιήρηκε) s. u. ‚Athetesen'. 24 So schreibt Zen. stets. Vgl. schol. A 80 (s. 4).

5 τοῦτο A_1, τοῦτον Bekker. 7 δ' A, γ' T. 8 αὐτῶν A, αὐτοῦ T.

III. Aristophanes von Byzanz.

ε 247/8. Ἀριστοφάνης τὸ αὐτὸ ᾤετο περιέχειν ἄμφω. διὸ τῷ μὲν σίγμα, τῷ δὲ ἀντίσιγμα ἐπιτίθησιν. BPQVind.

γ 71. τοὺς μετ' αὐτὸν τρεῖς στίχους ὁ μὲν Ἀριστοφάνης ἐνθάδε σημειοῦται τοῖς ἀστερίσκοις, ὅτε δὲ ὑπὸ τοῦ Κύκλωπος λέγονται, καὶ ὀβελίσκους τοῖς ἀστερίσκοις παρατίθησιν, ὡς ἐντεῦθεν μετενηνεγμένων τῶν στίχων. πόθεν γὰρ τῷ Κύκλωπι λῃστῶν ἔννοια ἢ στωμυλλομένῳ φάναι «οἵ τ' ἀλόωνται ψυχὰς παρθέμενοι κακὸν ἄλλοδαποῖσι φέροντες»; ὁ δὲ Ἀρίσταρχος οἰκειότερον αὐτοὺς τετάχθαι ἐν τῷ λόγῳ τοῦ Κύκλωπός φησιν· οὐδὲ γὰρ νῦν οἱ περὶ Τηλέμαχον λῃστρικόν τι ἐμφαίνουσι. δοτέον δέ, φησί, τῷ ποιητῇ τὰ τοιαῦτα. καὶ γὰρ ναῦν αὐτὸν παράγει εἰδότα, «ἀλλά μοι εἶφ', ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα» (ι 279), καὶ συνίησιν Ἑλληνίδα φωνήν. καθάπτεται δὲ καὶ Θουκυδίδου Ἀρίσταρχος κτέ. H. M. Q. R.

σ 282. παρέλκετο] ἀντὶ τοῦ ἐφέλκετο. εὐτελὲς τοῦτο, διὸ καὶ κεραύνιον παρέθηκεν Ἀριστοφάνης. H.

A 567. ἀάπτους] . . . ἐν δὲ ταῖς Ἀριστοφάνους γλώσσαις διὰ τοῦ ε ἐγέγραπτο «ἀέπτους». . . . A.

Eust. E 738, pg. 603, 28. ὁ δὲ γραμματικὸς Ἀριστοφάνης ἴδιόν τι σύγγραμμα περὶ αἰγίδος προενεγκὼν ἄλλα τέ τινα λέγει οὐ πάνυ γλαφυρά, καὶ ὅτι Ὅμηρος τοῖς πάθεσι καὶ τοῖς δι' αὐτῶν ἀποτελουμένοις πράγμασιν ὁμωνύμους τινὰς ἐφιστᾷ δαίμονας εἰδωλοποιουμένους μυθικῶς, ἐφ' ὧν καὶ τὸ ἀποτελοῦν ἤγουν παρασκευαστικὸν νοεῖται καὶ τὸ ἀποτελούμενον κακὸν ἐναργῶς. ἔρως γοῦν καὶ πλοῦτος καὶ ἔρις καὶ ὕβρις καὶ δεῖμος καὶ φόβος καὶ κυδοιμὸς καὶ βροντὴ καὶ ἀστραπὴ καὶ ἄλλα μύρια ὁμωνύμως δηλοῦσι τὰ εἰδωλοποιΐα τε δαιμονιώδη καὶ τὸ ἐκεῖθεν σύμπτωμα. ἐν δὲ τοῖς τοιούτοις λέγει ὁ αὐτὸς καὶ ὅτι τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ ἡ Σαπφὼ διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν.

---

1 Bei der dürftigkeit unserer überlieferung über Aristophanes sind ein paar Odysseescholien nicht zu entbehren.

13 ναῦν Cobet., νῦν codd. 29 sic Schrad. Porph. p. 42 adn., editor. τὸ εἰδωλοποιΐαν.

Λ 4. ὅτι «πολέμοιο τέρας» τὸν εἰδωλοποιούμενον πόλεμον κτέ. οἱ δὲ ἀστραπήν φασι τὴν Ἔριδα φέρειν, ὡς καὶ Ἀριστοφάνης. φησὶ γάρ· «ὡς δ' ὅταν ἀστράπτῃ . . . τεύχων ἢ πολὺν . . . ἠέ ποθι πτολέμοιο» (K 5/7). Ἀπολλώνιος δὲ κτέ. A.

Φ 130. Ἀρίσταρχος διὰ τῶν ὑπομνημάτων Ἀριστοφάνη φησὶ στίχους ἓξ ἠθετηκέναι ὡς παρεμβληθέντας ὑπὸ τῶν ἀπορούντων, διὰ τί ὁ ποταμὸς ὀργίζεται, καίτοι σαφῶς αὐτοῦ λέγοντος τὴν αἰτίαν. «Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων ἀϊζηῶν, οὓς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν» (146)· καὶ τὸ «δηθά» ὡς οὐχ Ὁμηρικῶς κείμενον αἰτιῶνται. μήποτε μέντοι καὶ ὁ Ἀρίσταρχος συγκατέθετο τῇ ἀθετήσει μηδὲν ἀντειπὼν τῷ Ἀριστοφάνει. A.

Σ 10/1. ἐν τῇ Ῥιανοῦ καὶ Ἀριστοφάνους οὐκ ἐφέροντο οἱ δύο κτέ. T.

T 41. ἥρωας] παρ' Ἀριστοφάνει καὶ Ῥιανῷ «ἐρίηρας». *A.

Υ 188. βοῶν ἄπο] ἡ Ῥιανοῦ καὶ Ἀριστοφάνους «βοῶν ἔπι», οὐκ ἀχαρίτως. *A.

ἐν τῇ Χίᾳ δὲ «βοῶν ἔπι». A.

Ψ 81. εὐηγενέων] ἐν τῇ Ῥιανοῦ καὶ Ἀριστοφάνους «εὐηφενέων» διὰ τοῦ ῱, εὖ τῷ ἀφένῳ χρωμένων, ὡς Κλέαρχος ἐν ταῖς γλώτταις. A.

H 443. καθόλου δὲ τὴν τῶν θεῶν ἀγορὰν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος. A.

τὴν ἀγορὰν τῶν θεῶν ἠθέτουν οἱ περὶ Ζηνότοτον καὶ αὐτὸς Ἀρίσταρχος. T.

O 33. οὔτε παρὰ Ζηνοδότῳ οὔτε παρ' Ἀριστοφάνει ἦν. καὶ μήποτε περιττός ἐστιν. *A.

οὐδὲ παρὰ τοῖς περὶ Ζηνόδοτον ἦν· καὶ μήποτε περισσός ἐστιν. *T.

B 53. Schol. A s. s. 8.

αἱ πλείους καὶ χαριέστεραι δίχα τοῦ ν̄ ὡς καὶ ἡ Ἀριστάρχειος· ἡ δὲ σὺν τῷ ν̄ Ζηνοδότειος. T.

---

19 T 86. παρ' Ἀριστοφάνει καὶ τῇ Χίᾳ «νεικείουσιν». *A. 27 Die scholl. H 443, O 33, B 53 mögen zeigen, wie man den lesarten des Aristophanes geringeres interesse entgegenbrachte als denen der beiden anderen grammatiker.

5 ὑπομν. Bredow. ap. Wolff. Prol. p. 221, ποιημάτων A. 13 καὶ Ἀριστοφάνους om. A. 24 In A falso ad H 452. 29 οὔτε T, οὐδέ Wilamowitz. 32 ὡς Wilam., εἰσί T.

Λ 103. ἄμφω . . . ἐόντας] Ἀριστοφάνης «ἐόντε». *A.

Λ 135. νῶι ζωούς] Ἀριστοφάνης «ζωώ». *A.

N 358. τοὶ δ' ἔριδος . . . ἐτάνυσσαν] Ἀρίσταρχος «τὼ δ' ἔριδος». Ἀριστοφάνης «τοί». *T.

Z 148. ἔαρος δ' ἐπιγίγνεται ὥρη] Ἀριστοφάνης . . . τὸ «ὥρῃ» μετὰ τοῦ ι γράφει κατὰ δοτικήν. A.

N 29 s. u. Herodian, N 246 u. Zenodot, s. 7).

Ω 30. (Ἀλέξανδρος νείκεσσε τὰς ἄλλας θεάς,) τὴν δ' ἤνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν] παρ' Ἀριστοφάνει καί τισι τῶν πολιτικῶν «ἥ οἱ κεχαρισμένα δῶρ' ὀνόμηνε». καὶ τάχα μᾶλλον οὕτως ἂν ἔχοι. ἀθετεῖ γὰρ Ἀρίσταρχος διὰ τὴν μαχλοσύνην τὸν στίχον. A.

IV. Aristarch.

1. Aristarchs ἐκδόσεις; schriften über Homer.

Σ 182. τίς γάρ σε] ἡ ἑτέρα τῶν Ἀριστάρχου διὰ τοῦ τ «τίς τάρ σε». μήποτε δὲ ἀμείνων ἡ προτέρα, παρόσον σύνηθες Ὁμήρῳ ἀπὸ τοῦ «γάρ» ἄρχεσθαι. A.

B 579. οὕτως ἡ ἑτέρα τῶν Ἀριστάρχου, καὶ ἔστι χαριεστέρα «ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν κυδιόων· πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν, οὕνεκ' ἄριστος ἦεν, πολὺ δὲ πλείστους ἄγε λαούς». ἡ γὰρ αἰτία τοῦ διαπρέπειν διὰ τοῦ ἑξῆς ἀποδίδοται «οὕνεκ' ἄριστος ἦεν, πολὺ δὲ πλείστους ἄγε λαούς». ὁμοίως δὲ καὶ Ζηνόδοτος γράφει. A.

I 657. σπείσαντες] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου «λείψαντες» καὶ ἐν πολλαῖς τῶν ἀρχαίων. *A.

E 132. τήν γ' οὐτάμεν] Ζηνόδοτος «τὴν οὐτάσαι». διχῶς Ἀρίσταρχος, καὶ οὕτως, «τήν γ' οὐτάμεν», καὶ χωρὶς τοῦ «γέ» «τὴν οὐτάμεν». *A.

H 452. τό τ' ἐγώ] χωρὶς τοῦ «τέ» ἐν ταῖς Ἀριστάρχου, «τὸ ἐγὼ καὶ Φοῖβος». κατ' ἔνια δὲ τῶν ὑπομνημάτων «τὸ δ' ἐγώ». A.

Ξ 397. ὄρετο] ἔν τισι τῶν ὑπομνημάτων «ὄρορε», καὶ ἔστιν ὅμοιον τῷ «ὄρορ' ἐπαΐξας» (B 146). *A.

---

19 Vgl. schol. δ 727: ἡ χαριεστέρα τῶν Ἀριστάρχου. 31 Wegen des hiats vgl. s. 6 anm.

B 133. ἐν τοῖς κατ' Ἀριστοφάνην ὑπομνήμασιν Ἀριστάρχου «Ἴλιον» ἐγέγραπτο, οὐκ «Ἰλίου» καὶ μήποτε ἄμεινον ἔχει. A.

K 53. ὅτι ἐκ τούτων καὶ τῶν τοιούτων τὰ περὶ τοῦ ναυστάθμου ὁ Ἀρίσταρχος ἐπραγματεύσατο. ῥητῶς γὰρ λέγεται πλησίον τοῦ Αἴαντος ὁ Ἰδομενεὺς νενεωλκηκέναι. A.

Λ 166. ἡ διπλῆ πρὸς τὸ περὶ τοῦ ναυστάθμου διάγραμμα· τὸ γὰρ Ἴλου σῆμα κατὰ μέσον εἶναί φησιν ἐν τῷ πεδίῳ. A.

M 435. οὕτως μετὰ τοῦ ν «ἀνεικέα», ἔξω νείκους, τὸ ἴσον αὐτοῖς ἀπονέμουσα. ἄμεινον δέ, φησίν, «ἀεικέα», τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸς τὸ Ξένωνος παράδοξον προφέρεται «ἀμεμφέα μισθόν». A.

A 97. Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει] λέξεις ἐκ τῶν πρὸς Κωμανόν· ‹τὸ μὲν «ἀεικέα λοιγόν» ὄλεθρον ἀπεοικότα λέγει· τοῦτο δέ ἐστιν ἀπεχθῆ. «ἀπριάτην» (99) δὲ σαφές ὡς ἄνευ τοῦ πρίασθαι καὶ ταὐτὸν τῷ νῦν λεγομένῳ δωρεάν. καὶ ἡ Μασσαλιωτικὴ δὲ καὶ ἡ Ῥιανοῦ τὸν αὐτὸν ἔχει τρόπον›. ἔοικεν οὖν ἡ ἑτέρα Ζηνοδότου εἶναι, ἡ «οὐδ' ὅ γε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει». A.

B 125. Τρῶες μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν] Ἀριστάρχου λέξεις ἐκ τῶν ὑπομνημάτων· ‹ἐὰν καὶ τὰ παιδία καὶ τοὺς πρεσβύτας ἀριθμήσωσιν, οὐ μὴ γένωνται, ὅσοι ἡμεῖς. τοῦτο δέ ἐστιν ‹ἐφέστιοι› κατοικίδιοι καὶ ἔναυλοι. καὶ ἐν Ὀδυσσείᾳ (ζ 265)· «πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ» ὡσεὶ κατάλυμα παρὰ τῇ νηΐ'. A.

B 435. μηκέτι νῦν δήθ' αὖθι λεγώμεθα] ‹Ἀριστάρχου› λέξεις ἐκ τοῦ ‹εἰς τὴν› B τῆς Ἰλιάδος· ‹«δηθά» πολὺν χρόνον, «αὖθι» αὐτοῦ, «λεγώμεθα» συναθροιζώμεθα. ὁ δὲ λόγος τοιοῦτος· μηκέτι νῦν ἐπὶ πολὺν χρόνον αὐτοῦ συνηθροισμένοι μένωμεν. Ζηνόδοτος δὲ ποιεῖ «μηκέτι νῦν ‹δὴ› ταῦτα λεγώμεθα'. Καλλίστρατος δὲ ἐν τῷ α΄ περὶ Ἰλιάδος οὕτως προφέρεται· «μηκέτι δὴ νῦν αὖθι λεγώμεθα». καὶ ἔστιν εὐφραδὴς μᾶλλον, ἀλλ' οὐκ Ἀριστάρχειος. ταῦτα ὁ Δίδυμος. A.

---

16 λέγει Ludwich., λέγειν A. 18 καὶ — τρόπον Aristarcho tribui Ludwichium (Did. pg. 195 sq.) secutus. 24 ἐφέστιοι add. Lehrs. κατοικ. Lehrs., κατοικητίδιοι A. 27 οὕτως αἱ Ἀριστάρχου λέξεις κτέ. A, cf. Ludw. pg. 218, qui verba οὕτ. αἱ Ἀρ. ab iis q. s. seiunxit. εἰς τὴν inserui, cf. infr. A 424.

A 424. λέξεις Ἀριστάρχου ἐκ τοῦ ⟨εἰς τὴν⟩ A τῆς Ἰλιάδος ὑπομνήματος· τὸ μὲν «μετ' ἀμύμονας» ἐπ' ἀμύμονας, ὅ ἐστι πρὸς ἀμώμους, ἀγαθούς, τὸ δὲ «κατὰ δαῖτα» ἀντὶ τοῦ ἐπὶ δαῖτα· οὕτως γὰρ νῦν Ὅμηρος τέθεικεν. ἔνιοι δὲ ποιοῦσι «μετὰ δαῖτα», ὅπως ᾖ αὐτοῖς αὖθις τὸ «μετά» ἐπί. χρῶνται δὲ καὶ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ «κατά» ἀντὶ τῆς ἐπί. Σοφοκλῆς «ἐγὼ κατ' αὐτόν, ὡς ὁρᾷς, ἐξέρχομαι» (Frg. 812 Nauck) οὕτως δὲ εὕρομεν καὶ ἐν τῇ Μασσαλιωτικῇ καὶ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμαχείῳ καὶ Ἀριστοφανείῳ. Καλλίστρατος δὲ ἐν τῷ πρὸς τὰς ἀθετήσεις ὁμοίως καὶ ὁ Σιδώνιος καὶ ὁ Ἰξίων ἐν τῷ ς' πρὸς τὰς ἐξηγήσεις. καὶ τὸ «θεοὶ δ[ὲ]' ⟨ἅμα⟩ πάντες ἕπονται» διὰ τῆς αι. A.

2. Urteile über die art der textkritik; widersprüche in der späteren überlieferung betreffs der ansichten Aristarchs.

I 222. ἐδητύος ἐξ ἔρον ἔντο] φαίνονται καὶ παρ' Ἀγαμέμνονι, πρὶν ἐπὶ τὴν πρεσβείαν στείλασθαι, δειπνοῦντες· φησὶ γοῦν «αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ', ὅσον ἤθελε θυμός, ὥρμῶντ' ἐκ κλισίης» (177). ἄμεινον οὖν εἶχεν ἄν, φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο «ἀψ ἐπάσαντο», ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον καὶ μὴ εἰς κόρον ἐσθίειν καὶ πίνειν λέγωνται. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν. A.

B 665. βῆ φεύγων] τὸ μὲν Ὁμηρικὸν ἔθος βῆ φεύγειν προφέρεται. ἀλλ' ὅ γε Ἀρίσταρχος οὐ μετέθηκεν, ἀλλ' οὕτως γράφει «βῆ φεύγων». A.

Π 467. δεύτερον ὁρμηθείς, ὁ δὲ Πήδασον οὔτασεν ἵππον] δοκεῖ διὰ τούτων συγχεῖσθαι ἡ διαφορὰ τοῦ βαλεῖν καὶ οὐτάσαι· βέβληται γὰρ ὁ Πήδασος. καὶ μήποτε γραφή τις ἐφέρετο, δι' ἧς τὸ τῆς λέξεως σύνηθες ἐφύλασσεν Ὅμηρος . . .· οὐ γὰρ ἂν αὐτὸ ἀπαραμύθητον ὁ Ἀρίσταρχος ἀφῆκεν. ἐν τοίνυν τῇ Φιλήμονος οὕτως ἐφέρετο «ὁ δὲ Πήδασον ἤλασεν ἵππον». ἔστι γὰρ ὅτε ἐπὶ τῆς ⟨πόρρωθεν⟩

1 λέξις A, corr. Ludwich. εἰς τὴν ins. Cobet. α' A (ut supra β'). 5 αὖθις Bergk., αὐτόθεν A. 12 τῆς T, τοῦ A. 30 lacunam statuit Roemerus, Mus. Rh. 1911, pg. 295 adn. et inseruit ⟨ὅπερ ψευδές⟩. 33 πόρρωθεν add. Lehrs.

πληγῆς τὸ ἤλασεν κεῖται, ὡς ἐπὶ τοῦ Ἀρήτου (P 517), «καὶ βάλεν Ἀρήτοιο», εἶτα «νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν». διὰ μέντοι τοῦ ν̄ γραπτέον τὸ «δεύτερον ὁρμηθείς». A.

δοκεῖ συγκεχύσθαι ἐνθάδε τὸ βαλεῖν καὶ ⟨τὸ⟩ οὐτάσαι· καὶ ὁ μὲν Ἀρίσταρχος οὕτως ἀφῆκε τὸ ἄπορον, ὁ δὲ Φιλήμων «ἤλασεν» γράφει· καὶ ἐπὶ τοῦ βαλεῖν γὰρ κεῖται τὸ ἐλάσαι, ὡς ἐκεῖ· «καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα . . . ἡ δ' οὐκ ἔγχος ἔρυτο . . . νειαίρῃ δ' ἐνὶ γαστρὶ διὰ ζωστῆρος ἔλασ⟨σ⟩εν». T.

B 111. Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε] σχολικὸν ἀγνόημα τὸ δοκεῖν Ζηνοδότειον εἶναι τὴν μετὰ τοῦ σ̄ γραφήν, καὶ δόξειεν ἂν ὑπὸ Διονυσίου τοῦ Θρακὸς ταῦτα δεδόσθαι· ἐν γὰρ τῷ περὶ ποσοτήτων καθάπτεται Ζηνοδότου ὡς ἠγνοηκότος, ὅτι τῷ «μέγα» ἀντὶ τοῦ μεγάλως Ὅμηρος ἀποχρῆται· παρ' ὃ δὴ καὶ κατά τινα τῶν ὑπομνημάτων μετειλῆφθαι τὸ «μέγα» ἀντὶ τοῦ μεγάλως. τὸ δὲ οὐκ ἔχει τἀκριβὲς οὕτως. εἰ γὰρ τὰ συγγράμματα τῶν ὑπομνημάτων προτάττοιμεν, ἕνεκα γοῦν τἀκριβοῦς γράφομεν κατὰ Ἀρίσταρχον «Ζεύς με μέγας». ἐν γοῦν τῷ πρὸς Φιλητᾶν συγγράμματι τῇ γραφῇ κέχρηται, δύο λέγων τὸ «μέγας» σημαίνειν, τοτὲ μὲν τὸ καθ' αὑτό, καθάπερ νῦν «Ζεύς με μέγας Κρονίδης» καὶ «κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων» (Π 776), τοτὲ δὲ αὖ τὸ πρὸς τὴν κατὰ τὸν Αἴαντα τὸν ἕτερον διάκρισιν «Αἴας δ' ὁ μέγας» (Π 358). κἀν ταῖς Λιταῖς ἐξηγούμενος «αὐτὰρ ἔπειτ' Αἴας τε μέγας» (I 169) ἔν τινι τῶν ἠκριβωμένων ὑπομνημάτων γράφει ταῦτα κατὰ λέξιν· ‹οὐ κατ' ἐπίθετον λέγει «μέγας», ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου Αἴαντος. ὅταν δὲ λέγῃ «Ζεύς με μέγας Κρονίδης», οὐκέτι ὅτι καὶ ἕτερος μικρός ἐστιν›. καὶ τοὺς ἀπ' αὐτοῦ δὲ χρωμένους ἔστιν εὑρεῖν τῇ γραφῇ, Διονυσόδωρον τὸν Ἀλεξανδρέα καὶ Ἀμμώνιον· ἐπιλέγουτι δὲ οὐδέν· διὸ καὶ τὰς μαρτυρίας αὐτῶν οὐκ ἐγράψαμεν. καὶ Καλλίστρατος δὲ ἐν τῷ περὶ Ἰλιάδος οὕτως

---

3 nicht δεύτερος. 12 d. i. μέγας.

8 ἐλάσαι ex A Maaß., οὐτάσαι T. ὡς ἐκεῖ ἔβαλεν T, corr. Maaß. 9 ἔροιτο T. τὸ Bekk., τῷ A. 19 γράφοιμεν corr. Lehrs. 22 μέγα A. 24 αὐτό A, corr. Lehrs. 27 ποιημάτων A, corr. Lehrs.

προφέρεται, ὥστε ὅμοιον εἶναι τῷ «ἐπεὶ μέγας ὠδύσατο Ζεύς» (Σ 292). οὐδὲ ὁ Ἐπιθέτης δὲ Πτολεμαῖος τὰς Ζηνοδότου γραφὰς ἐκτιθέμενος ταύτην ὡμολόγει Ζηνοδότου εἶναι. ταῦτα ὁ Δίδυμος.

Κ 124. μάλ' ἐπέγρετο] ὁ Ἰξίων «μέγ' ἐπέγρετο»· καὶ μήποτε ἡ Ἀρίσταρχειος οὕτως εἶχεν.

Ν 2. παρὰ τῆσι] Ζηνόδοτος καὶ Ἀριστοφάνης «περὶ τῆσι». μήποτ' οὖν διχῶς. *A.

Ν 824. Ζηνόδοτος «βουγήϊε» διὰ τοῦ η̄· ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ ᾱ, τάχα ἐπεὶ γαίων ὡς ἐπὶ τὸ πλεῖστον ὁ ποιητὴς λέγει. A.

Ν 191. χρόος] Ἀλεξίων φησίν, ὅτι Ἀρίσταρχος ὡς σοφὸς προηνέγκατο, Τυραννίων δὲ ὡς πόλος, καὶ ἔχει λόγον ἑκατέρα ἡ ἀνάγνωσις κτέ. A.

Κ 53. Αἴαντα] ὁ μὲν Δίδυμος τὴν Ἀρισταρχείαν γραφὴν λέγει «Αἴαντε» δυϊκῶς, ὁ δὲ Τήλεφος λέγει κακῶς εἰρηκέναι τὸν Δίδυμον· οὐ γὰρ ἐπ' ἀμφοτέρους τοὺς Αἴαντας ὁ Μενέλαος πέμπεται. A.

Κ 397/9. ἦ ἤδη χείρεσσιν] καὶ γραπτέον οὕτως καὶ ἀθετητέον τοὺς τρεῖς στίχους, εἴ τι χρὴ πιστεύειν Ἀμμωνίῳ τῷ διαδεξαμένῳ τὴν σχολὴν ἐν τῷ περὶ τοῦ μὴ γεγονέναι πλείονας ἐκδόσεις τῆς Ἀρισταρχείου διορθώσεως τοῦτο φάσκοντι. καὶ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο. ἐν δὲ ταῖς Ἀριστάρχου ἐγέγραπτο «εἰ ἤδη». ταῦτα ὁ Δίδυμος περὶ τῶν στίχων τούτων. A.

398. ὅτι οὕτως γραπτέον «βουλεύουσι» καὶ «θέλουσι»· τὸ γὰρ «σφίσιν» ἐν τῷ περί τινών ἐστι λόγῳ ἀντὶ τοῦ αὐτοῖς, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα. ταῦτα ὁ Ἀριστόνικος

---

4 Die verschiedenheit der angaben über lesarten erklärt sich, wie bekannt, erstens daraus, daß die originalausgaben und schriften Zenodots und Aristarchs nicht mehr vorhanden waren, zweitens bei Aristarch offenbar auch dadurch, daß er öfter in seiner zweiten ἔκδοσις eine andere überlieferung vorzog, mitunter auch in den weniger sorgfältig ausgearbeiteten ὑπομνήματα (s. d. vor. schol.) eine von ihm mißbilligte lesart niederschrieb. 18 Mit anderen worten: Aristarch kann nicht Αἴαντε geschrieben haben, weil er dann geirrt hätte, und das ist unmöglich nach meinung des Telephos (Didymos und Herodian dachten in dieser beziehung anders). Auf diese weise ließ sich manche lesart für aristarchisch erklären oder ihm absprechen!

23 ἐν δὲ — ἤδη male excerpta, cf. Ludw. pg. 319.

περὶ τῆς γραφῆς ταύτης φησὶ διπλῆν ⟨προσ⟩βάλλων τῷ στίχῳ. ἐν μέντοι τῇ τετραλογίᾳ Νεμεσίωνος οὕτως εὗρον περὶ τῶν στίχων τούτων· ‚τῶν παρακειμένων ὀβελῶν οὐκ ἔστιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀριστάρχειων ὑπομνημάτων. Ἀμμώνιος δὲ ὁ Ἀριστάρχειος πρῶτον μὲν στιγμαῖς φησι τὸν Ἀρίσταρχον παρασημειώσασθαι αὐτούς, εἶτα δὲ καὶ τελέως ἐξελεῖν, τάχα διὰ τὸ ἐπὶ δευτέρου προσώπου τὸ «σφίσι», τετάχθαι καὶ ἄνωθεν (310 ff.) μετενηνέχθαι'. A.

T 365/8. ἀθετοῦνται στίχοι τέσσαρες· γελοῖον γὰρ τὸ βρυχᾶσθαι τὸν Ἀχιλλέα, ἥ τε συνέπεια οὐδὲν ζητεῖ διαγραφέντων αὐτῶν. ὁ δὲ Σιδώνιος ἠθετηκέναι μὲν τὸ πρῶτόν φησιν αὐτοὺς τὸν Ἀρίσταρχον, ὕστερον δὲ περιελεῖν τοὺς ὀβελοὺς ποιητικὸν νομίσαντα τὸ τοιοῦτο. ὁ μέντοι Ἀμμώνιος ἐν τῷ περὶ τῆς ἐπεκδοθείσης διορθώσεως οὐδὲν τοιοῦτο λέγει, διπλῆν δὲ προσθετέον τῷ «δῦν' ἄχος ἄτλητον, ὁ δ' ἄρα Τρωσὶ μενεαίνων», ὅτι τὸ «μενεαίνων» νῦν θυμούμενος σημαίνει. A.

Σ 207. ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται] οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρῶτον ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι καὶ γράψαι «ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται». ἐμφατικῶς τὸ ἐν πολέμῳ πῦρ ἐπιτεθὲν τῷ Ἀχιλλεῖ παρέβαλε τῷ ἐν πολεμουμένῃ ἁπτομένῳ. A.

I 464. Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱπποδρομίας (Ψ 643) φησὶ γεγραμμένου «ἀντιόωντες» μεταθεῖναι τὸν Ἀρίσταρχον «ἀμφὶς ἐόντες». A.

T 386. τῷ δ' εὖτε πτερὰ γίνετ'] a) οὕτως «εὖτε» Ἀρίσταρχος· συνέσταλται δὲ τὸ ἠΰτε καὶ διὰ τοῦ ε εἴρηται. παρὰ δὲ Ἀριστοφάνει «τῷ δ' ὥστε», ἐν δὲ ταῖς ἀπὸ τῶν πόλεων «τῷ δ' αὖτε». A.

b) οὕτως γραπτέον «τῷ δ' εὖτε», ἵνα ᾖ ὡσεὶ πτερὰ διὰ τὴν κουφότητα· A.

---

8 ἐπὶ δευτ. προσ.] Nemesion nimmt als Aristarchs lesart βουλεύοιτε u. ἐθέλοιτε an. Vgl. Friedländer Ariston. und Ludw. Did. s. 319.

7 τέλεῖον A, τελέως Ludw. 13 αὐτ. τὸν Ἀρ. Lehrs., αὐτῶν τοὺς ἀριθμούς A. 21 πρῶτον Ludwich., πρώτῃ A.

c) ἔξωθεν [δὲ] τὸ ὡς. πρότερον δὲ γράφων ὁ Ἀρίσταρχος «τῷ δ' εὖτε» καὶ κατὰ συστολὴν δεχόμενος ἀντὶ τοῦ ἠΰτε, ὡς ἐπὶ τοῦ «εὖτ' ὄρεος κορυφῇσι» (Γ 10) μετέγραψεν ὕστερον «τῷ δ' αὖτε» ἐμφατικώτερον νομίσας εἶναι ὑπακουομένου τοῦ ‹ὡς›, ὡς κἀκεῖ «καιροσέων δ' ὀϑονέων ἀπολείβεται». (η 107.) A.

d) συστολὴ ἀπὸ τοῦ ‹ἠΰτε›. T.

e) γράφεται «αὖτε», ἵνα λείπῃ τὸ ὡς. T.

Π 467. Schol. A u. Schol. T b) s. s. 14 f.

a) οὐτάσαι τὸ ἐκ χειρὸς τρῶσαι. ἐνταῦϑα δὲ ἐπὶ τοῦ βαλεῖν τῷ ῥήματι κέχρηται. λέγει γὰρ «Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτεν» (466), ὅπερ ἐπὶ τῶν ἀφιέντων τάσσεται· διὸ καὶ γράφει Ἀρίσταρχος «ὁ δὲ Πήδασον ἀγλαὸν ἵππον, τόν ῥά ποτ' Ἠετίωνος ἐλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς, ‹ὃς› καὶ ϑνητὸς ἐὼν ἔπεϑ' ἵπποις ἀϑανάτοισι, τὸν βάλε δεξιὸν ὦμον». T.

---

1 b) u. c) bilden in A ein Scholion. Daß es zwei sind und die worte ἔξωθεν τὸ ὡς die lesart αὖτε erklären, hat Lehrs gesehen (s. Ludw. Did. z. St.). Roemer Rh. M. 1911 s. 281 klammert ἐξ. δὲ τὸ ὡς ein und verbindet πρότερον κτέ. mit a). Ich glaube aber, daß der scholiast, wenn er gegen Aristarch opponierte, den gegensatz stärker betonen würde: ὁ δὲ Ἀρ. πρότερον μὲν γράφων κτέ.; er glaubt offenbar, derselben ansicht zu sein wie Aristarch und erwähnt nur, daß dieser früher anderer meinung war; d. h. die worte πρότερον κτέ. gehören dem scholiasten, der wie seiner meinung nach auch Aristarch αὖτε liest. Also ist dies, wie Lehrs annimmt, nichtdidymeische überlieferung, die wohl auch keinem anderen der «vier männer» gehört und infolge merkwürdiger korruption mit didymeischen (b) verbunden worden ist. In T ist der viermännerkommentar öfter ebenso stark entstellt (s. u.). Wenn Roemer s. 282 darauf hinweist, daß der vergleich mit Γ 10 ein beweis aristarchischer herkunft sei, so wird man fragen: warum dann nicht auch der zweite mit η 107? 15 Daß die angaben der beiden anderen scholien mehr glauben verdienen, ist klar. Der autor dieser erdichtung ist auf eine stufe mit Telephos zu stellen (schol. K 53, s. 16); er hielt es offenbar für unmöglich, daß Aristarch οὐτάζειν in diesem sinne habe durchgehen lassen. Dagegen darf man m. e. die angaben über eine meinungsänderung Aristarchs nicht ohne weiteres als wertlos ignorieren, da wir von dem vorhandensein zweier ausgaben wissen. Ich wage z. b. nicht, zu behaupten, daß die angabe des schol. c) zu T 386 falsch sei, und führe für die möglichkeit ihrer richtigkeit Ξ 499 an, aus dem Römer (s. 282) die gegenteilige folgerung zieht. Ich stimme auch hier Lehrs bei: Nicht immer gilt für Aristarch das gesetz der analogie, wie Π 467 beweist. Aristarch mußte entweder das ‹unhomerische› φή aufnehmen oder ὡς ergänzen. Er zog das letztere vor.

8 e) ei q. praec. adhaeret; removit Maaß.

Schol. Did. zu Ξ 499 s. s. 5.

Ξ 500. ὅτι ἀναγνόντες τινὲς «φὴ κώδειαν» ὑφ' ἕν, ἵν' ᾖ ὡς κώδειαν', προσεπέταξαν τὸν ἠθετημένον. οὐδέποτε δὲ Ὅμηρος τὸ «φή» ἀντὶ τοῦ ὡς τέταχεν. ἴσως δὲ καὶ Ἀντίμαχος ἐντεῦθεν ἐπλανήθη «φὴ γεράνοισιν» εἰπών. δεῖ δὲ ἔξωθεν προσλαμβάνειν τὸ ὡς καὶ ἀθετεῖν τὸν στίχον. A.

Ξ 499. Ἀρίσταρχος [δὲ] τὸ «φῆ» ῥῆμα ἐκδέχεται καὶ ἀθετεῖ τὸν ἑξῆς. δύναται δὲ καὶ δισσολογία εἶναι, ὡς τὸ «τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος (λ 342), ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο» (η 158) ⟨καὶ⟩ «ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν». ἢ τὸ «πέφραδε» (500) διεσήμαινεν· [πρὸς δὲ Ζηνόδοτόν φαμεν, ὡς οὐδέποτε τὸ «φή» παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ ὡς παραλαμβάνεται]. AT.

3. Aristarchs σημεῖα.

Κ 240. ἀθετεῖται, ὅτι περισσὸς ὁ στίχος καὶ παρέλκων καὶ μὴ ἐπιλεγόμενος ἀπαρτίζει τὴν διάνοιαν. ἡ δὲ διπλῆ, ὅτι ἔξωθεν ἐκ τοῦ ἰδίου προσώπου ἀναφωνεῖ, ὡς καὶ τὸ «νήπιος, οὐδ' ἄρ' ἔμελλε, κακὰς ὑπὸ κῆρας ἀλύξας» (Μ 113). οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν. A.

Β 160. ἀπὸ τούτου ἕως τοῦ «ἐν Τροίῃ ἀπόλοντο» (162) ἀθετοῦνται στίχοι τρεῖς καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον ἐν τῷ τῆς Ἀθηνᾶς λόγῳ ἑξῆς εἰσι τεταγμένοι (176), νῦν δὲ κοινότερον λέγονται. A.

Β 176/8. ὅτι ἐνταῦθα τάξιν ἐπέχουσιν. *A.

Θ 535/7. ὅτι ἡ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ ἀντίσιγμα παράκειται, ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ στιγμαὶ παράκεινται· εἰς γὰρ τὴν αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν. ἐγκρίνει δὲ μᾶλλον ὁ Ἀρίσταρχος τοὺς δευτέρους διὰ τὸ καυχηματικωτέρους εἶναι τοὺς λόγους· ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν. τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος, ἃ καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A.

Β 192. (τὸ ἀντίσιγμα) ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺς ἑξῆς παρεστιγμένους τρεῖς στίχους (203/5)· εἰσὶ

5 sic Bekker., γέρων οἵσιν A (alia coni. Schneider. Callim. II 668). 8 Quae in T solo extant, [. . .], quae in A solo, ⟨. . .⟩ uncis inclusi. 10 ὀψὲ δὲ δὴ μετέειπε, η 155. 12 πρὸς κτέ.] cf. schol. A prius ad Ξ 499.

γὰρ πρὸς βασιλεῖς ἁρμόζοντες, οὐ πρὸς δημότας· «οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί, οὐκ ἀγαθὸν πολυκοιρανίη» καὶ τὰ ἑξῆς. A.

203. τούτῳ καὶ τοῖς μετ' αὐτὸν δύο ἡ στιγμὴ παράκειται. *A.

B 673/5. τρισὶ στίχοις παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι ἐκ τῶν τριῶν τοὺς δύο ἠθέτηκε Ζηνόδοτος, τὸν δὲ μέσον οὐδὲ ἔγραφεν τοῦ Ὁμήρου φιλοτιμουμένου ἐν πᾶσι τὸν Ἀχιλλέα προτεροῦντα παραστῆσαι. A.

4. Ansichten und beobachtungen über den sprachgebrauch.

H 433. ἀμφιλύκη νύξ] ἡ διπλῆ δέ, ὅτι ἅπαξ μόνον ἐνταῦθα τῇ λέξει κέχρηται. A.

Λ 147. ὅλμον] ἡ διπλῆ δέ, ὅτι ἅπαξ ἐνταῦθα κέχρηται· καὶ ὅτι καὶ ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν Ὀδυσσείᾳ, χοίνικος (τ 28) καὶ λύχνου (τ 34). πρὸς τοὺς χωρίζοντας. A.

Π 807. σχεδόθεν βάλε] ὅτι Ζηνόδοτος γράφει «σχεδὸν οὔτασε Δάρδανος ἀνήρ». ἀγνοεῖ δέ, ὅτι ἐκ βολῆς τέτρωται, ὡς διὰ τῶν ἑξῆς δείκνυται «ὥς τοι πρῶτος ἐφῆκε βέλος». A.

Π 812. ὅτι βέβληται καὶ οὐκ οὔτασται, ὡς Ζηνόδοτος. βέλος γοῦν κέκληκε διὰ τὸ βεβλῆσθαι. καὶ πρὸς τὴν ἀποστροφήν, A.

Π 828. ὅτι οὗτος μὲν οὔτασεν, ὁ δὲ Εὔφορβος βέβληκεν. *A.

O 495. ὅτι διαστέλλει τὸ βαλεῖν καὶ τὸ τύψαι. *A.

E 147. πρὸς τὴν διαφορὰν τοῦ πλῆξε καὶ ἔβαλεν, ὅτι ἐκ χειρὸς ἐπάταξεν. *A.

Λ 439. γνῶ δ' Ὀδυσεὺς, ὅ οἱ οὔ τι τέλος κατακαίριον ἦλθεν] αἱ Ἀριστάρχου οὕτως «τέλος», καὶ σχεδὸν ἅπασαι· ἔγνω, ὅτι οὐ κατὰ καίριον τέλος ἦλθεν ἡ πληγή, οὐκ εἰς καίριον τόπον ἐτελεύτα. Ζηνόδοτος δὲ γράφει βέλος, κακῶς· οὐ βέβληται δέ, ἀλλ' ἐκ χειρὸς πέπληγε· λέγει δὲ τέλος τὸ τῆς ζωῆς. A.

Α 44. Οὐλύμποιο καρήνων] ὅτι ὄρος ὁ Ὄλυμπος· τὰ γὰρ κάρηνα ἐπὶ ὄρους. *A.

10 Vgl. auch, was sich aus dem abschnitt über Zenodot für Aristarchs auffassung ergibt.

Γ 364. οὐρανὸν εὐρύν] ὅτι Ζηνόδοτος γράφει «αἰπύν»· αἰπὺ δὲ ὄρος ἂν λέγοιτο, ὁ δὲ οὐρανὸς εὐρύς· παρήκει γὰρ τῇ γῇ. A.

Θ 19. ὅτι, εἰ μὴ ἐκδεξόμεθα Ὄλυμπον τὸ ἐπὶ Μακεδονίας ὄρος, οὐ συμφωνήσει τῇ διαθέσει ταύτῃ· ἐπὶ γὰρ τοῦ οὐρανοῦ στάς φησι τὸν Ὄλυμπον ἀνέλκειν τῆς σειρᾶς ἐκ τοῦ βίου ἐκδεθείσης κτέ. A.

Β 809. πᾶσαι δ' ὠΐγνυντο πύλαι] ὅτι ἔμφασιν ἔχει πολλῶν πυλῶν, μία δέ ἐστι· καὶ ἔστι τὸ «πᾶσαι» ἀντὶ τοῦ ὅλαι. A.

Ψ 135. ἡ διπλῆ δέ, ὅτι τὸ «πάντα» ἀντὶ τοῦ ὅλον, πρὸς τὸ «πᾶσαι δ' ὠΐγνυντο πύλαι (Β 809, Θ 58). A.

Δ 46, Ζ 96, 277 etc. ὅτι θηλυκῶς τὴν Ἴλιον. *A.

Σ 174. Ἴλιον ἠνεμόεσσαν] ὅτι Ζηνόδοτος γράφει «Ἴλιον αἰπὺ θέλοντες» καὶ τοὺς ἑξῆς ἀπὸ τοῦ «ἑλκέμεναι μέμονεν» ἕως τοῦ «πῆξαι ἀνὰ σκολόπεσσι» (176/7) ἄνω μετατέθεικεν. ὁ μὲν οὖν Ἕκτωρ οὐκέτι ταύτην ἔχει τὴν ὁρμήν, ὡς προείρηται· ἡ δὲ Ἶρις ὡς πρὸς τὸ διεγεῖραι τὸν Ἀχιλλέα ταῦτα κελεύει, καὶ οὐδέποτε κατὰ τὸ οὐδέτερον λέγει Ἴλιον. A.

Ο 71. Ἴλιον αἰπὺ ἔλοιεν] ὅτι νῦν μόνως οὐδετέρως εἴρηται Ἴλιον. *A.

Μ 115. ὅτι θηλυκῶς τὴν Ἴλιον· ἡ δὲ ἀναφορὰ πρὸς τὸ «Ἴλιον αἰπὺ ἔλοιεν» (Ο 71), ὅτι οὐδετέρως· διὸ ἀθετεῖται. A.

---

14 Π 92 liest Zenodot Ιλιον αἰπὺ δίεσθαι. Überall, wo Ἴλιον, die neutrale form, auftritt, ist αἰπύ mit ihr verbunden. 16 ἄνω] Vgl. schol. Σ 155. 25 Schol. O 56: ἀπὸ τούτου ἕως τοῦ «λισσομένη τιμῆσαι» (77) ἀθετοῦνται στίχοι κβ' κτέ. A. — Im widerspruch mit diesen angaben steht schol. *A zu O 71: Ἀρίσταρχος «Ἴλιον ἐκπέρσωσιν». Es ist m. e. nicht nötig, mit Cobet und Ludwich ein verschreiben aus Ἀριστοφάνης anzunehmen. Es wird sich mit dieser behauptung ebenso verhalten wie mit der falschen angabe im schol. Ta) zu Π 467 (s. 18). Man traute Aristarch ein solches παράλογον nicht zu und bedachte nicht den wert der athetese. T hat statt Ἀρίσταρχος τινές, wie es öfter geschieht, wenn T eine andere lesart als A hat. Η 133. ὠκυρόῳ κελάδοντι] ὅτι ἰδίως τὰ ἐπίθετα προτάξας τὸ κύριον ἐπήγαγεν «Ἰαρδάνου ἀμφὶ ῥέεθρα». A. — ὠκυρόῳ Κελάδοντι] τῷ νῦν Ἀκίδωνι. τινὲς δὲ ἄμφω ἐπίθετα τοῦ Ἰαρδάνου, καὶ τὴν φράσιν σημειοῦνται· προτάξας γὰρ δοτικὰς ἐπιφέρει γενικὴν «Ἰαρδάνου». T. — Ξ 118. ἐμοῖο] οὕτως Ἀρίσταρχος κτέ. A. — ἐμεῖο] οὕτω Ζηνόδοτος· τινὲς δὲ «ἐμοῖο» κτέ. T.

4 ἐκδεξώμεθα A, corr. Bekk.

Λ 754. δι' ἀσπιδέος πεδίοιο] ὁ Ἀσκαλωνίτης «δι' ἀσπιδέος», ἐπεὶ ἐπιφέρει «ἀνά τ' ἔντεα καλὰ λέγοντες», τοιοῦτό τι λέγων τοῦ πολλὰς ἔχοντος ἀσπίδας. ὁ δὲ Ἀλεξίων καὶ ἀμφότερα κρίνει, καὶ «ἀσπιδέος» καὶ «σπιδέος». ὅ τε Ἀρίσταρχος ἐκεῖνο ἀποφαίνεται ὡς ὅτι τινὲς μὲν ἀπὸ τοῦ ᾱ ποιοῦνται τὴν διαστολήν, ἵν' ᾖ «ἀσπιδέος», ὡς εἰκαστικώτερον τοῦ ποιητοῦ ἀσπιδὲς τὸ πεδίον εἰρηκότος τῷ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι μηδενὸς ἄλλου ὁρωμένου τέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται «ἀσπιδέος» τοῦ ἔχοντος πολλὰς ἀσπίδας, καθότι ἐπιφέρει «ἀνά τ' ἔντεα καλὰ λέγοντες». οἱ δέ φασιν ἐκ πλήρους «σπιδέος» καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχυλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ «σπίδιον μῆκος ὁδοῦ» καὶ ὁ Ἀντίμαχος «οὐδὲ σπιδόθεν προνοῆσαι», τουτέστι μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσταρχος. Κράτης δὲ προκρίνει τὴν διὰ τοῦ ᾱ γραφήν. καὶ Ζηνόδοτος δὲ συναινεῖ τῇ δίχα τοῦ ᾱ γραφῇ καί φησι «σπιδέος», τοῦ ἀπόρου καὶ τραχέος [καὶ μεγάλου]. καὶ Ἀμερίας δὲ λέγει «σπιδέος» τοῦ πολλοῦ καὶ εὐρέος καὶ μεγάλου. κἀγὼ δὲ συγκατατίθεμαι τοῖς ἀνδράσιν· ὁρῶ γὰρ πολλὴν τὴν τοιαύτην χρῆσιν παρὰ τοῖς ἀρχαίοις. A.

Α 93. οὔ ταρ ὅ γ' εὐχωλῆς] οὕτως ὀξεῖαν ἐπὶ τοῦ ου· ὁ γὰρ «τάρ» ἐστὶ σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς καὶ ἐπὶ τοῦ «εἴ ταρ ὅ γ' εὐχωλῆς» (65). οὐ γάρ ἐστιν ὁ «τέ» συμπλεκτικός· εἰ γὰρ ἦν, ἐπεφέρετο ἂν πάλιν ὁ «τέ» μετὰ ἀφοφάσεως, οὔθ' ἑκατόμβης. οὕτως γὰρ ἔστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὔ ἀποφάσεως. «ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς οὔτε τι ποιμήν» (δ 87). A.

Λ 553. ἀντίοι ἀΐσσουσι] Ἀρίσταρχος διὰ τοῦ ν «ἀντίον». *A.

Μ 44. ἀντίοι ἵστανται] γράφεται «ἀντίον»· οὕτως γὰρ Ἀρίσταρχος. *A.

Τ 70. ἀντίον ἐλθών] οὕτως Ἀρίσταρχος διὰ τοῦ ν «ἀντίον». *A.

---

32 Dagegen setzt Aristarch das adjektivum, wenn dieses einen zustand oder ein alter bezeichnet: Ξ 135. οὐδ' ἀλαὸς σκοπιὴν εἶχε] ὅτι Ζηνόδοτος «οὐδ' ἀλαὸν σκοπιήν». *A; Ω 725. νέος ὤλεο] Ζηνόδοτος «νέον ὤλεο». *A.

18 del. Lehrs. 22 ἐπὶ τὴν A, ἐπὶ τοῦ Vill.

A 484. μετὰ στρατόν] Ἀρίσταρχος «κατά», οὐ «μετά». καὶ «χθιζὸς ἔβη κατὰ δαῖτα» (A 424). *A.

A 424. μετὰ δαῖτα] Ἀρίσταρχος «κατὰ δαῖτα» *A (Schol. A s. s. 14).

B 179. κατὰ λαόν] ἐνταῦθα καὶ τὸν λόγον ὑποτέθεικεν Ἀρίσταρχος οὕτως ὥστε νοεῖσθαι «ἴθι κατὰ λαόν». *A.

A 374. λίσσετο] οὕτως Ἰακῶς τὸ «λίσσετο. *A.

A 464. σπλάγχν' ἐπάσαντο] Ἀρίσταρχος Ἰακῶς «πάσαντο». *A.

A 611. ἔνθα καθεῦδ'] ὅτι Ζηνόδοτος γράφει «ἔνθ' ἐκάθευδ' ἀναβάς» κτέ. A.

A 68. κατ' ἄρ' ἔζετο] ὅτι Ζηνόδοτος γράφει «ἐκαθέζετο» κτέ. A.

B 107. ὁ . . . Θυέστ'] . . . καὶ ὅτι κλητικὴ ἀντὶ τῆς ὀρθῆς, «Θυέστα» ἀντὶ τοῦ Θυέστης. A.

N 563. κυανοχαῖτα] ὅτι ἀντὶ τοῦ κυανοχαίτης. *A.

B 397. τὸν . . . κύματαλείπει . . ., ὅτ' ἂν . . . γένωνται] οὕτως «γένωνται» αἱ Ἀριστάρχου. τούτῳ δὲ καὶ ὁ ἐκ τῶν ὑπομνημάτων λόγος ὑπόκειται ἔχων τῇδε· ἐπὶ τῶν κυμάτων λέγει τὸ «γένωνται». τῷ τοιούτῳ πλεονάκις κέχρηται, ὥστε καὶ ἐπὶ τῶν οὐδετέρων τὰ πληθυντικὰ παραλαμβάνει'. μεταποιοῦσι δέ τινες «γένηται», οὐκ ὀρθῶς. ταῦτα ὁ Δίδυμος. A.

N 28. (τὰ κήτεα) οὐδ' ἠγνοίησεν ἄνακτα] ὅτι «ἠγνοίησαν» γραπτέον· σύνηθες γὰρ Ὁμήρῳ οὕτως λέγειν «ἠγνοίησαν» τὰ κήτη καὶ οὐκ «ἠγνοίησεν». A.

B 135. δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται] ὅτι κατὰ τὸν αὐτὸν στίχον καὶ ἑαυτῷ καὶ ἡμῖν συνήθως ἐξενήνοχε τὸ «λέλυνται» καὶ «σέσηπε. *A.

B 665. βῆ φεύγων] s. s. 14.

E 661/2. αἰχμὴ δὲ διέσσυτο μαιμώωσα ὀστέῳ ἐγχριμφθεῖσα] ὅτι ἀκαταλλήλως· ἔδει γὰρ εἰπεῖν ‚μαιμώωσα ὀστέῳ ἐγχριμφθῆναι'. A.

---

13 Im gegensatz hierzu steht, soweit Zenodot in betracht kommt, Ξ 285: ὑπεσείετο] Ἀρίσταρχος «ὑπό», εἶτα «σείετο», Ἰακῶς. οὕτως καὶ Ζηνόδοτος καὶ Ἀριστοφάνης. *A.

5 κατά] in multis codd. μετά. 18 τούτῳ Cobet., τοῦτο A; Ludwich. Did. pg. 216 multos locos collegit, ubi o et ω in Ven. A inter se confunduntur.

Θ 65. ῥέε δ' αἵματι γαῖα] ὅτι ἀντὶ τοῦ ἐρρεῖτο ἡ γῆ καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A.

Θ 62. ὅτι ταὐτὸν ἐξ ἐπαναλήψεως εἶπεν· προειπὼν γὰρ «ῥινούς» ἐπενήνοχεν «ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι», ἐξ ἀμφοτέρων ταὐτά σημαίνων. A.

Wortzerreißung am versende:

Ω 331/2. Ζῆ—ν' ἐς πεδίον προφανέντε] οὕτως τὴν συναλοιφὴν διεῖλεν Ἀρίσταρχος «Ζῆ—ν», ἐν ἀρχῇ τοῦ στίχου τὸ ν̄ θείς. A.

Θ 206/7. Ζῆ—ν', αὐτοῦ κ' ἐνθ' ἀκάχοιτο] ἡ διὰ τὸν εἰ σύνδεσμον (205) ἀποτελουμένη ὑποστιγμὴ πίπτει μετὰ τὸ Ζῆν' ὄνομα. ἀλλ' εἰ μὲν ἐκ πλήρους ἔκειτο, οὐδὲν ἂν ἐζητεῖτο· ἐπεὶ δὲ συνήλειπται καὶ ὑπὸ τῶν γραμματικῶν μετενήνεκται τὸ ν̄ εἰς τὸν ἑξῆς στίχον, δύο παρηκολούθησεν ἄλογα, ἓν μέν, ὅτι μεταξὺ μιᾶς συλλαβῆς τῆς ναυ ὑποστιγμὴ πέπτωκεν, καὶ αὕτη χρόνον ἔχουσα διάστημα, ᾧ παραπλήσια κἀκεῖνα· «ὡς ἔφαθ', αἱ δ' ἐπέμυξαν» (Δ 20)· «ὡς ἐφατ' οὐδ' ἀπίθησεν» (B 166)· ἕτερον δέ, ὅτι συμβήσεται κατ' ἀρχὰς τοῦ στίχου μετὰ τὸ ν̄ μόνον στοιχεῖον διάστημα εἶναι τῆς ὑποστιγμῆς. A.

Elision vor interpunktionen:

Λ 441. ἆ δείλ', ἦ μάλα] ἐπεὶ μετὰ τὰς προσαγορευτικὰς ἀνάγκη στίζειν, ὡς καὶ ἡ συνήθεια μαρτυρεῖ στίζουσα μετὰ τὴν δευτέραν λέξιν, οὐκ ἔστι δὲ πλήρης, ἀλλὰ συνήλειπται, οὕτως δὲ ἡμῶν ἀναγιγνωσκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαρισμὸς γίνεται, εἴτε ὀξύνοιμεν, εἴτε περισπάσοιμεν, ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν «ἆ δειλέ» δεῖ, ἵνα καὶ ἡ στιγμὴ καὶ ὁ τόνος ἀναλόγως καὶ Ἑλληνικῶς ἔχῃ. οὕτως δὲ καὶ Ἀρίσταρχος ἔγραφεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον οὐκ ἂν δόξαι βλάπτεσθαι τοῦ στοιχείου προστεθέντος, ἐπεὶ ὅταν δέῃ ὑγιὲς αὐτὸ παριστάναι, πάλιν ἀφαιρεθήσεται, ὡς «βουκόλε, ἐπεὶ οὔτε κακῷ» (υ 227), «ἢ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω» (O 18). οὕτως δὲ καὶ ἐν τοῖς ἑξῆς «ἆ δειλέ, οὐ μὲν σοί γε» (452). A.

Λ 450. ὦ Σωχ', Ἱππάσου υἱέ] ἐκ πλήρους Ἀρίσταρχος «ὦ Σῶκε». *A.

---

10 ἡ Bekk., εἰ A. 13 et 24 συνήλειπται Bekk., συνείληπται A.

5. Bemerkungen zum inhalt.

Γ 144. Αἴθρη, Πιτθῆος θυγάτηρ] εἰ μὲν τὴν Θησέως λέγει μητέρα, ἀθετητέον. ἀπίθανον γάρ ἐστιν Ἑλένης ἀμφίπολον ⟨εἶναι⟩ τὴν οὕτως ὑπεραρχαίαν, ἣν οὐκ ἐκποιεῖ ζῆν διὰ τὸ μῆκος τοῦ χρόνου. εἰ δὲ ὁμωνυμία ἐστὶ καθάπερ ἐπὶ πλειόνων, δύναται μένειν. καὶ γὰρ ἄλλοι εἰσὶν ὁμώνυμοί τινες κατὰ τὰ Ἰλιακά, Ἄδραστος, Τεύθρας, Οἰνόμαος. A.

H 9/10. ἡ διπλῆ, ὅτι οὗτος τοῦ Ἀρητίθοου ὁμώνυμός ἐστι τοῦ ὑπὸ Νέστορος λεγομένου «τεύχε' ἔχων ὥμοισιν Ἀρητίθοιο ἄνακτος» (137) κτέ. A.

Γ 230. ὅτι πλησίον ὁ Ἰδομενεὺς Αἴαντος τοῦ Τελαμωνίου ἐτάσσετο κατὰ τὴν ἐπιπώλησιν (Δ 251) συμφώνως. παραιτητέον ἄρα ἐκεῖνον τὸν στίχον· τὸν ἐν τῷ καταλόγῳ (B 558) ὑπό τινων γραφόμενον «στῆσε δ' ἀγῶν', ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες». οὐ γὰρ ἦσαν πλησίον Αἴαντος Ἀθηναῖοι. A.

Z 123. τὸν (scil. Γλαῦκον) πρότερος προσέειπε . . . Διομήδης· «τίς δὲ σὺ ἔσσι» κτέ.] ὅτι οὐ καθόλου τὴν ἀχλὺν ἀφῃρέθη πρὸς τῆς Ἀθηνᾶς. A.

N 681. Αἴαντός τε νέες] ὅτι τοῦ Λοκροῦ λέγει Αἴαντος· οὗτος γὰρ πλησίον ἐνεώλκει τοῦ Πρωτεσιλάου. πρὸς τὰ περὶ τοῦ ναυστάθμου. A.

Ψ 365. νόσφι νεῶν] ἤρξαντο μὲν ἀπὸ Σιγείου, ἔνθα ἦν Ἀχιλλεύς, ἔτρεχον δὲ ἐπὶ Ῥοίτειον· νόσφιν οὖν νεῶν τῶν πρὸς τῷ αἰγιαλῷ νεωλκηθεισῶν. κατὰ δὲ Ἀρίσταρχον ὁ δρόμος γέγονεν ἐν τῷ ἀπὸ τοῦ τείχους ἄχρι τῆς θαλάσσης ε̄ σταδίων διαστήματι. T.

B 48. πρὸς ⟨τὸν⟩ τῶν ἡμερῶν ἀριθμόν, ὅτι τρίτη καὶ εἰκοστή· δέκα μὲν μέχρι τῆς μήνιδος, δώδεκα τῶν θεῶν ἐν Αἰθιοπίᾳ ὄντων. ἡ δὲ ἀνατολὴ αὕτη τρίτη καὶ εἰκοστή ἐστιν. καὶ ὅτι ὄρος ὁ Ὄλυμπος· διὸ καὶ μακρός. A.

---

31 Aus dem Fragment, das uns von Zenodots tagezählung berichtet, sei zum vergleich folgendes angeführt (Lachmann Betr.[3] s. 91, 26 ff.): καὶ κελεύοντος τὴν μητέρα ἀξιῶσαι τὸν Δία, ὅπως τιμήσωσιν αὐτὸν οἱ Ἀχαιοί, ἐπιβάλλει ἡ Θέτις· «εἶμ' αὐτὴ κτέ. Ζεὺς (35) γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας ⟨Αἰθιοπῆας⟩ χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα

4 εἶναι add. Villoison. 14 ἄγων traditur, corr. Bothe. 26/7 διαστ. post τείχους, transp. Maaß. coll. Eusth. 28 τὸν add. Villoison.

B 744. Αἰθίκεσσι] ἤδη εἰς βαρβάρους ἥκων ἐθνικῶς καὶ οὐκ ἀπὸ πόλεως αὐτοὺς ὀνομάζει. B.

B 816. δι' ἐθνῶν δέ, οὐ πόλεων, ὀνομάζει τοὺς βαρβάρους. B.

B 852. ἐξ Ἐνετῶν] ὅτι Ζηνόδοτος γράφει «ἐξ Ἐνετῆς». *A.

Π 222. τήν οἱ Θέτις ἀργυρόπεζα θῆκ' ἐπὶ νηὸς ἰόντι] ὅτι οὐ δωδεκαταῖον ἀπέλιπε τὸν Ἀχιλλέα γεννήσασα ἡ Θέτις, καθάπερ οἱ νεώτεροι ποιηταί, ἀλλὰ συνεβίου Πηλεῖ. ἐκπέμπει γοῦν ἐπὶ τὸν πόλεμον Ἀχιλλέα καί φησιν (Σ 59) «τὸν δ' οὐχ ὑποδέξομαι αὖτις οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω» ὡς ἂν ἐπὶ τοῦ οἴκου μένουσα. A.

A 396. πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα εὐχομένης] Ἀρίσταρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν λέγων τὸ δηλούμενον εἶναι τοιοῦτο· πολλάκις γάρ σου ἐν τοῖς τοῦ πατρός μου δόμοις ἤκουσα καυχωμένης. ἐὰν γάρ, φησί, κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔσται ἐν τοῖς τοῦ Νηρέως οἴκοις ὁ Ἀχιλλεὺς αὐτῆς ἀκηκοώς· ταύτην δὲ τὴν ἱστορίαν οὐκ οἶδεν Ὅμηρος. τοσαῦτα ὁ Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ. A.

Λ 46. ὅτι νῦν ἐνικῶς τὴν Μυκήνην ⟨καὶ⟩ ὅτι ἐν Μυκήναις τὰ Ἀγαμέμνονος βασίλεια, οὐκ ἐν Ἄργει, ὡς οἱ νεώτεροι. A.

B 862. Φρύγας] ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Αἴ-

---

πάντες ἔποντο· δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπόνδε», ὥστε πορεύεσθαι αὐτὸν τῇ ἐνάτῃ. διελθουσῶν οὖν τῶν ἀνὰ μέσον ἡμερῶν ἔρχεται ὁ Ζεὺς τῇ προειρημένῃ δωδεκάτῃ, καὶ ἡ Θέτις κατὰ τὸ πρόσταγμα τοῦ υἱοῦ ἀναβαίνει πρὸς τὸν Δία· κἀκείνου ὑποσχομένου ποιήσειν, καθάπερ ἠξίου, ἀπαλλάσσεται ἡ Θέτις τὰ εἰρημένα τῷ υἱῷ ἀπαγγελοῦσα. ταύτης διελθούσης τῆς ἡμέρας καὶ τῶν ἡμερῶν ἀριθμὸν ἐχουσῶν εἴκοσι, ἐπιβάλλει μία καὶ εἰκοστή, ἐν ᾗ ἐστιν Ἀχαιῶν ἀγορὰ, νεῶν κατάλογος κτέ. Die ungewöhnlich geschriebenen worte (z. b. ἀξιόσαι, Οὔλιμπον) habe ich in der üblichen form wiedergegeben.

13 Vgl. schol. Ariston. Σ 57. 20 Es folgt die ansicht des Ptolemäus, der auch σεο als Enklitikon betrachtet, aber Aristarchs beweisführung für falsch erklärt. Denn die form σέο sei niemals pron. poss.; ἐγένετο οὖν ἐγκλιτικὴ ἡ ἀνάγνωσις, ἐπειδήπερ ἁπλῆ ἐστι καὶ οὐκ ἔχει ἀντιδιαστολήν.

7 ἰόντι Zen., Aristoph., Nauck; ἄγεσθαι Aristarch., codd. 21 καί om. A, add. Bekk. et Dind.

σχυλος δὲ συνέχεεν. οὗτοι δὲ τῆς μικρᾶς εἰσι Φρυγίας. ἡ δὲ μεγάλη παρὰ τῷ Σαγγαρίῳ κεῖται, ὅθεν καὶ «Ἄσιος, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο» (Π 717). A.

E 892. ἡ διπλῆ, ὅτι σαφῶς Ἥρας ὁ Ἄρης, οὐκ Ἐνυοῦς, ὥς τινες. A.

E 905. ἡ διπλῆ, ὅτι παρθενικὸν τὸ λούειν. οὐκ οἶδεν ἄρα ὑφ' Ἡρακλέους αὐτὴν γεγαμημένην, ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ (λ 600). A.

6. Athetesen und auslassungen bei den Alexandrinern.

a) Fälle, in welchen das fehlen der athetierten oder fortgelassenen verse in voralexandrinischen exemplaren bezeugt ist.

P 134/6. παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ οὐκ ἦσαν οἱ γ' στίχοι κτέ. A.

Σ 39. ὁ τῶν Νηρεΐδων χόρος προηθέτηται καὶ παρὰ Ζηνοδότῳ ὡς Ἡσιόδειον ἔχων χαρακτῆρα. Ὅμηρος γὰρ κατὰ τὸ κοινὸν Μούσας λέγει καὶ Εἰλειθυίας, ἀλλ' οὐκ ὀνόματα. γελοῖόν τε ἐξ ὀνόματος προθέμενον εἰπεῖν πάσας ὥσπερ ἀποκαμόντα εἰπεῖν· «ἄλλαι δ', αἱ κατὰ βένθος ἁλὸς Νηρῇδες ἦσαν». ὁ δὲ Καλλίστρατος οὐδὲ ἐν τῇ Ἀργολικῇ φησιν αὐτοὺς φέρεσθαι. τό τε «ἔνθα» οὔτε χρόνον σημαίνει οὔτε τόπον, διακόπτεταί τε ἡ λύπη τῷ καταλόγῳ. A.

Υ 269/72. οὗτοι καὶ προηθετοῦντο παρ' ἐνίοις τῶν σοφιστῶν, ἐν ἐνίοις δὲ οὐδὲ ἐφέροντο. T.

T 388. ἀθετοῦνται στίχοι τέσσαρες, ὅτι ἐκ τοῦ Πατρόκλου ὁπλισμοῦ (Π 141) μετάκεινται. ἡ δὲ περιεστιγμένη διπλῆ, ὅτι ἐνταῦθα μὲν αὐτοὺς Ζηνόδοτος καταλέλοιπεν, ἐπὶ δὲ Πατρόκλου ἠθέτηκεν. ἐκεῖ δὲ ἀναγκαίως λέγονται, ἵνα γνῶμεν, διὰ τί οὐκ ἔλαβε τὴν μελίαν. A.

οὐδὲ ἐν ταῖς ἄλλαις ἦσαν οἱ ἀθετούμενοι. *A.

30 Schol. Σ 10/1 s. s. 11.

24 οὐδέ Vict., om. T, haud scio an voluntate editoris, cum adnotatio critica desit. 25 ε' Cobet., quia etiam v. 387 obelus adscribitur; sed cf. Ludwich. Did. pg. 449.

b) Varianten zwangen zur athetese bzw. auslassung.

I. 14ff. ἄν δ' Ἀγαμέμνων ἵστατο δάκρυ χέων ὥς τε κρήνη μελάνυδρος] ὅτι Ζηνόδοτος γράφει «μετὰ δ' Ἀργείοισιν ἔειπεν· ὦ φίλοι Ἀργείων (17)». περιῄρηκε δὲ πάντα τὰ κατὰ τὴν παραβολήν. ἀναγκαῖα δέ ἐστιν εἰς αὔξησιν. A.

B 60/70. ὅτι Ζηνόδοτος συντέτμηκεν οὕτως εἰπών· «ἠνώγει σε πατὴρ ὑψίζυγος αἰθέρι ναίων Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον. ὡς ὁ μὲν εἰπὼν ᾤχετ' ἀποπτάμενος» κτέ. A.

Δ 88/9. Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι. εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε] τούτῳ καὶ τῷ ἑξῆς παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι Ζηνόδοτος τούτου μὲν τὸ ἀκροτελεύτιον οὕτως γράφει «εὗρε δὲ τόνδε», τὸν δὲ δεύτερον οὐδὲ γράφει δοκῶν ἀνθρώπινον τὸ ζητεῖν εἶναι· καταλέλοιπε δὲ τὸ διζημένη. ἀγνοεῖ δὲ, ὅτι ὁμοιωθεῖσα Λαοδόκῳ ἀνάγκην εἶχεν ἀνθρώπινα ἐπιτηδεύειν. A.

B 226. πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι] ὅτι Ζηνόδοτος γράφει «πλεῖαι δὲ γυναικῶν» καὶ τοὺς ἑξῆς ἠθέτηκεν, ἐν οἷς μάλιστα ὁ Θερσίτης γελοιοποιός. A.

A 404. ὁ γὰρ αὖτε βίῃ οὗ πατρὸς ἀμείνων] ὅτι Ζηνόδοτος γράφει «ὁ γὰρ αὖτε βίῃ πολὺ φέρτατος *ἁπάντων, ὁππόσ⟨σ⟩οι ναίουσ' ὑπὸ Τάρταρον εὐρώεντα» κτέ. A.

A 159. ὅτι Ζηνόδοτος γράφει «τιμὴν ἀρνύμενος» καὶ τὸν ἑξῆς ἠθέτηκεν κτέ. A.

---

1 Ich nehme als sicher an, daß an keiner der folgenden stellen eine konjektur Zenodots oder Aristarchs vorliegt. Vgl. die anm. zu P 456 (s. 8) für Zenodot, schol. I 222 (s. 14) für Aristarch. 4 περιῄρηκε = οὐδὲ ἔγραφε, wie das scholion beweist. 18 Hier muß man doch wohl annehmen, daß Zenodot 227/8 überhaupt nicht in den text aufnahm, daß also die angabe des Aristonikosscholions falsch ist. 20 Man darf nicht außer acht lassen, daß dieser fall den vorigen ganz gleich ist. Ein Zenodoteer würde schreiben: Ἀρίσταρχος γράφει «οὗ πατρ. ἀμ.» τὸν δὲ ἑξῆς οὐδὲ ἔγραφεν. Derartige stellen sind sehr zahlreich (vgl. schol. B 55, s. 8 u. P 456, s. 8). 23 ἀρνύμενος und 160 schließen einander aus. Ebenso liegt die sache an den folgenden stellen. So ist die athetese durch die lesart bedingt. ὑποτάσσει (Γ 334/5) u. προσέθηκε (B 318/9) könnten den Verdacht erwecken, als ob ἀθετεῖν wie B 226ff. eine ungenaue bezeichnung für οὐ γράφειν sei. Doch lehrt schol. Γ 395 (am schlusse dies. abschn. b)), daß die athetierten verse als nicht existierend betrachtet werden (αἱρομένων κτέ.).

5 παραβολήν Cobet., παράθεσιν A. 21 ἁπάντων corruptum; e. g. legatur ἄλλων cum Duentzero.

Γ 334/5. ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε] Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκε καὶ μετὰ τὸν «οἷο κασιγνήτοιο» (333) ὑποτάσσει «κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν (336) ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν (337)· εἵλετο δ' ἄλκιμον ἔγχος ‹ὅ οἱ παλάμηφιν ἀρήρει› (338)· ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετ' ἀσπίδα τερμιόεσσαν (338ᵃ). A.

B 318/9. τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς περ ἔφηνε· [λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω]] ὅτι Ζηνόδοτος γράφει «ἀρίδηλον» καὶ τὸν ἐχόμενον προσέθηκεν, ‹κακῶς›· τὸ γὰρ «ἀρίδηλον» ἄγαν ἐμφανές, ὅπερ ἀπίθανον. δ‹ν› γὰρ ἀναπλάσῃ, τοῦτο‹ν οὐκ› ἀναιρεῖ, λέγει μέντοι γε, ὅτι ὁ φήνας αὐτὸν θεὸς καὶ ἄδηλον ἐποίησεν. A.

319. ἀθετεῖται· προείρηται δὲ ἡ αἰτία. *A.

Γ 423. ἀπὸ τούτου ἕως τοῦ «ἔνθα κάθιζ' Ἑλένη (426) στίχοις τέσσαρσι παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι Ζηνόδοτος μετετίθει τὴν συνέπειαν οὕτως· «ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο (423), αὐτὴ δ' ἀντίον ἷζεν Ἀλεξάνδροιο ἄνακτος (vgl. 425/6), ὅσσε πάλιν κλίνασα, πόσιν δ' ἠνίπαπε μύθῳ» (427). ἀπρεπὲς γὰρ αὐτῷ ἐφαίνετο τὸ τῇ Ἑλένῃ τὴν Ἀφροδίτην δίφρον βαστάζειν. ἐπιλέλησται δέ, ὅτι γραῒ εἵκασται καὶ ταύτῃ τῇ μορφῇ τὰ προσήκοντα ἐπιτηδεύει. A.

Γ 395. ὅτι οὐ δεῖ ἀκούειν ἐκ τοῦ «θυμὸν ὄρινεν» ἐθύμωσεν, ἀλλὰ τὸ παρώρμησεν· δεξάμενος δέ τις τὸ πρότερον τοὺς ἑξῆς ἐνδιασκευάζει· διὸ ἀθετοῦνται ἀπὸ τοῦ «καὶ ῥ' ὡς οὖν ἐνόησε» (396) ἕως τοῦ «ὡς ἔφατ', ἔδδεισεν δ' Ἑλένη» (418) στίχοι κγ'. πῶς γὰρ ἡ γραῖα παλαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ ὄμματα μαρμαίροντα καὶ στήθεα ἱμερόεντα; καὶ βλάσφημα παρὰ τὸ πρόσωπόν ἐστι τὰ λεγόμενα «ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθους, μηδ' ἔτι σοῖσι πόδεσσιν», καὶ εὐτελὴς κατὰ τὴν διάνοιαν «μή μ' ἔρεθε, σχετλίη». αἱρομένων δὲ αὐτῶν καὶ τῆς συνεπείας γινομένης οὕτως· «ὡς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν

7 τερμιόεσσαν Robert. Stud. z. Il. pg. 51, τερσανόεσσαν. A. 8 ἀρίζηλον codd. 10 κακῶς inserui; ἔδει δὲ ἀΐζηλον add. Lehrs. 11 post ἀπίθανον Lehrsius ‹μάχεται οὖν ὁ ἐχόμενος› Inseruit. — δ‹ν› κτέ.] sic Lehrs., ὃ γὰρ ἐὰν πλάσῃ, τοῦτο ἀν. A. 23 ἐπιτηδεύειν A, corr. Villoison. 26 malim ἐνδιεσκεύακεν.

ὄρινε· βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ σιγῇ, πάσας δὲ Τρῳὰς λάθεν, ἦρχε δὲ δαίμων» ⟨καλῶς ἔχει⟩. A.

c) Athetesen, zu deren begründung nur subjektive argumente vorgebracht werden.

Π 97/100. παντελῶς ἐκβλητέον τοὺς δ΄ στίχους· πρῶτον ὅτι παιδιώδης καὶ ἀδύνατος ἡ εὐχή, εἶθ' ὅτι φθονερά, εἶτα ἐρωτική. τί δὲ ἠδίκησαν οἱ Μυρμιδόνες; πῶς τε Φοῖβον ἐπικαλεῖται, ὃν ἤκουσεν ὑπὸ Θέτιδος φονέα ἑαυτοῦ ἔσεσθαι (Φ 277); τί δὲ θαυμαστόν, εἰ ἐρήμην πορθοῖεν πόλιν; καὶ τὸ λύειν τὰ ⟨τείχη⟩ οἰκοδόμων ἐστίν· πῶς δὲ τὸ «νῶιν» (99) εὐθεῖαν δηλώσει; καλῶς οὖν, φησὶν Ἀρίσταρχος, Ζηνόδοτον ὑπωπτευκέναι, ὡς εἶεν παρεντεθέντες οἱ στίχοι ὑπὸ τῶν ἀρσενικοὺς ἔρωτας λεγόντων εἶναι παρ' Ὁμήρῳ καὶ ὑπονοούντων παιδικὰ εἶναι Ἀχιλλέα Πατρόκλου. T.

Schol. Ariston. zu Φ 130 s. s. 11.

P 172. μεμείωκε τὴν ἔμφασιν, καὶ τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίσταρχος. A.

A 29/31. ἀθετοῦνται, ὅτι ἀναλύουσι τὴν ἐπίτασιν τοῦ νοῦ καὶ τὴν ἀπειλήν. ἠσμένισε γὰρ καὶ ὁ Χρύσης εἰπούσης αὐτῇς τῷ βασιλεῖ. ἀπρεπὲς δὲ καὶ τὸ τὸν Ἀγαμέμνονα τοιαῦτα λέγειν. A.

B 231. ὅτι Ζηνόδοτος τοὺς τέσσαρας ἠθέτηκεν, ἐν οἷς πάλιν ἐστὶ τὰ γελοιότατα.

B 143. ἀθετεῖται, ὅτι κενῶς ἐπεξηγεῖται· τὸ γὰρ νοούμενον τὸ αὐτό. *A.

2 Mit anderen worten: Die verse 396/418 setzen die zenodoteische fassung der verse 423/6 voraus, während die aristarcheische lesung dieser verse die verse 396/418 nicht kennt. Es muß handschriften gegeben haben, in denen 396/418 fehlten und 423/6 so standen, wie in Aristarchs ausgaben und in unseren codices. Ebenso liegt die sache bei den von Aristarch athetierten versen B 76/85; Zenodot las v. 55 anders als Aristarch (s. s. 8). 4 Mit der möglichkeit, daß die athetierten verse in handschriften, die den Alexandrinern vorlagen, fehlten, muß natürlich gerechnet werden. Dafür, ob man einer solchen quelle folgte, waren aber, wie selbstverständlich ist, subjektive erwägungen bestimmend. 23 Vgl. B 226 (s. 28). 25 Der vers ist bekanntlich eingeschoben, damit auf die βουλὴ γερόντων rücksicht genommen wird. Ähnlich liegt die sache z. b. bei den von Zenodot athetierten versen

2 καλῶς ἔχει add. Lehrs. 7 ἐρωτικά T, corr. Bekker. 10 suppl. Maaß. coll. Eust. 11 εὐθεῖαν Bekker., οὐ θεῖαν T. 19 εἰπούσης corruptum; ὑπηρετούσης Lehrs., συνούσης Cobet.

Δ 55/6. ἀθετοῦνται ἀμφότεροι, ὅτι τὴν χάριν ἀναλύουσιν, εἰ καὶ μὴ προδεηθεὶς δύναται τοῦτ' ἔχειν. A.

A 139. ἄξω ἑλών] ἀθετεῖται, ὅτι πλήρης ὁ λόγος ἀλλαγῆς γενομένης τοῦ ῥήματος, ἕλωμαι ἀντὶ τοῦ ἑλοίμην. καὶ εὐηθες τὸ προσκείμενον «ὁ δέ κεν κεχολώσεται». πῶς γὰρ οὐκ ἔμελλε χολοῦσθαι; A.

A 295. ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε [σήμαιν'· οὐ γὰρ ἔγωγ' ἔτι σοὶ πείσεσθαι ὀίω]] ὅτι κοινὸν τὸ «ἐπιτέλλεο» καὶ ὁ «γάρ» περισσός. οὕτως δὲ γίνεται περισσὸς ὁ ἑξῆς. διὸ ἀθετεῖται. A.

A 192. (διάνδιχα μερμήριξεν, ἢ ὅ γε . . . τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρεΐδην ἐναρίζοι) ἦε χόλον παύσειεν, ἐρητύσειε δὲ θυμόν] ὅτι ἐκλύεται τὰ τῆς ὀργῆς. διὸ ἀθετεῖται. *A.

A 474 (473: καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν) μέλποντες ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων] ἀθετεῖται, ὅτι νομίσας τις τὸν Ἀπόλλωνα Παιήονα εἰρῆσθαι προσέθηκεν αὐτόν. καὶ γίνεται διττολογία. προείρηκε γὰρ «οἱ δὲ παννημέριοι μολπῇ θεὸν ἱλάσκοντο» (472). A.

B 668/9. τριχθὰ δὲ ᾤκηθεν καταφυλαδὸν (οἱ Ῥόδιοι) ἠδὲ φίλησθεν ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει] σεσημείωται (668) πρὸς τὸν ἑξῆς ἀθετούμενον· οὐ γὰρ νοήσας τις, ὅτι τὸ σημαινόμενον τοιοῦτόν ἐστι· καίπερ οὐκ ἐπὶ τῆς αὐτῆς οἰκοῦντες πόλεως, ἀλλὰ τριχῇ διασπαρέντες ἐφιλήθησαν ὑπὸ ἀλλήλων καὶ οὐ διήχθρευσαν', ἐζήτησεν, ὑπὸ τίνος ἐφιλήθησαν. διὸ προσέθηκε τὸν «ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει.» A.

B 686/94. Ebenso wie Aristarch dort veranlaßte Zenodot hier sein stilgefühl, die verse für eingeschoben zu halten (abgesehen von der möglichkeit, daß sie in einigen seiner quellen fehlten). Uns ist freilich nur die kritik des Aristarcheers Aristonikos erhalten: ὅτι Ζηνόδοτος ἀθετεῖ ἀπὸ τούτου (686) ἕως τοῦ «τῆς ὅ γε κεῖτ' ἀχέων» (694) στίχους ἐννέα. ἀναγκαῖοι δέ εἰσιν. δι' αὐτῶν γὰρ δηλοῦται, ὅτι ἐφ' ἑαυτῶν ἔμενον οἱ Μυρμιδόνες. A.

14 Ähnlich würde ein Zenodoteer die athetese von A 63 begründen (62: ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα [ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν]). Die ansichten des Aristonikos sind für uns in diesen fällen von geringem interesse (vgl. zu B 686, s. 31 anm.): Ζην. δὲ ἠθ. αὐτόν. μήποτε δὲ ὀνειροκρίτην ὑπείληφεν, οὐκ ὀρθῶς. A.

2 προσδεηθείς A.

A 194/5 (οἱ ὀβελοὶ καὶ ἀστερίσκοι) ὅτι οὐκ ὀρθῶς ἐκ τοῦ ποιητικοῦ προσώπου λέγονται. *A.

A 208/9 (= 194/5). ὅτι ἀμφοτέρους Ζηνόδοτος ἠθέτηκεν. οἰκείως δὲ μᾶλλον κεῖνται εἰς προστροπὴν τοῦ Ἀχιλλέως. A.

A 365. ὅτι παλιλλογεῖν παρήτηται. ἀλλότριοι ἄρα οἱ ἐπιφερόμενοι στίχοι εἴκοσι ἑπτά. A.

H 443. οἱ δὲ θεοὶ παρ' Ζηνί] ἕως τοῦ «ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον» (464) ἀθετοῦνται στίχοι κβ', ὅτι περὶ τῆς ἀναιρέσεως τοῦ τείχους λέγει πρὸ τῆς τειχομαχίας (M 4), ὡς ἂν μὴ προειρηκὼς ἐνθάδε. A.

καθόλου [δέ] τὴν τῶν θεῶν ἀγορὰν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος. A.

Beseitigung von widersprüchen durch athetese.

B 130. ἕως τοῦ «Ἰλίου ἐκπέρσαι» (133) ἀθετοῦνται στίχοι τέσσαρες, ὅτι καθόλου πάντας τοὺς βαρβάρους σὺν τοῖς ἐπικούροις ἥσσονας τῶν Ἑλλήνων διὰ παντός φησιν εἶναι. A.

Γ 407. αὐδήεντα δ' ἔθηκε (Ξάνθον τὸν ἵππον) θεὰ λευκώλενος Ἥρη] ἀθετεῖται ὡς περιττὸς καὶ ἐναντίον ἔχων· ἐπιφέρει γὰρ «ὡς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν» (418), ὡς δηλονότι καὶ παρασχοῦσαι. τοιοῦτος γὰρ ὁ ποιητής· «τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅσπερ ἔφηνεν» (B 318). A.

Λ 548. ὅτι ἀπὸ τούτου Ζηνόδοτος ἀθετεῖ ἕως τοῦ «ἦϊε πόλλ' ἀέκων» (557), ἴσως ὅτι νῦν μὲν λέοντι παραβέβληκεν, ἐξῆς δὲ ὄνῳ κτέ. A.

Besonders umfangreiche athetesen.

Σ 483. ὅτι Ζηνόδοτος ἠθέτηκεν ἀπὸ τούτου τοῦ στίχου τὰ λοιπὰ (483—608) ἀρκεσθεὶς τῇ κεφαλαιώδει προεκθέσει. Ὅμηρος δὲ οὐκ ἂν προετραγῴδησεν τὰ κατὰ τὰς φύσας, εἰ μὴ καὶ τὴν τῆς ποικιλίας κατασκευὴν ἔμελλε διατίθεσθαι. A.

ψ 296. τοῦτο τέλος τῆς Ὀδυσσείας φησὶν Ἀρίσταρχος καὶ Ἀριστοφάνης. HMQ.

---

2 λέγεται A, corr. Friedlaender. 8 οἱ—Ζηνί, quae verba initio scholii leguntur, lemmatis loco scripsi. 12 In Ven. A falso ad 452 adscriptum (v. pg. 13). 24 ἀρίζηλον A, sed cf. schol. B 318, pg. 29.

7. Athetesen anderer gelehrter; athetesen zweifelhaften ursprungs.

Λ 97. ὅτι Ἀπολλώνιος ποιεῖ «ἐγκέφαλόνδε» καὶ τὸν ἑξῆς ἀθετεῖ. A.

Δ 345/6. οὗτοι ἐν μὲν τοῖς ὑπομνήμασιν οὐκ ἀθετοῦνται, ἐπαιτιῶνται δὲ αὐτοὺς οἱ ἡμέτεροι ὡς ἀπρεπῶς καὶ παρὰ τὰ πρόσωπα εἰς κρεάδιον ὀνειδίζοντος τοῦ Ἀγαμέμνονος. A.

Ω 514. ἀθετεῖ ὁ Θρᾷξ· ὁ γὰρ ἵμερος περὶ μόνην τὴν ψυχήν, γυῖα δὲ οὐχ ὅλα τὰ μέλη φησίν· εἰ μὴ λέγοι τις, ⟨ὅτι⟩ στερνοτυπεῖ. τοῦτο ⟨δ'⟩ οὐ γράφει. T.

ἀθετεῖται· προείρηται γὰρ ἱκανῶς διὰ τοῦ «αὐτὰρ ἐπεί ῥα γόοιο» καὶ ἀκύρως τέθειται τὸ «γυίων»· οὐ γὰρ οὕτως λέγει πάντα τὰ μέλη, ἀλλὰ μόνον τὰς χεῖρας καὶ τοὺς πόδας. A.

I 682. (ἡ διπλῆ) ὅτι τὸ «ἠπείλησε» νῦν κατὰ τὴν ἡμετέραν χρῆσιν. *A.

καὶ μὴν Φοίνικι μὲν ἔλεγε «φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερα» (619), Αἴαντι δὲ «οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι . . . πρίν γ' υἱὸν Πριάμοιο» (650)· ἀλλ' ἴσως Ὀδυσσεὺς τὰ πρὸς ἑαυτὸν μόνον ῥηθέντα (360) ἀγγέλλει, ἀνακόπτει δὲ τὰ Αἴαντος εἰπὼν «εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν» (688), ὅπως μὴ αἰσχύνηται Αἴαντος πλέον κατορθώσαντος. ἢ ἵνα ἐκκόπτῃ αὐτῶν τὴν ἐλπίδα καὶ εὐψύχως μαχέσωνται· ὅθεν καὶ παραινεῖ ὁ Διομήδης «καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους» (708)· ὅπερ ἀγνοήσαντές τινες ὠβέλισαν τὰ ἔπη (682/3). TB (Porph.).

Ω 304. ἀθετεῖται, ὅτι παρὰ τὸ σύνηθες αὐτῷ «χέρνιβον» τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ὕδωρ, ὡς ἡμεῖς· τοῦτο δὲ αὐτὸς εἴωθε καλεῖν λέβητα, τὸ δὲ κατὰ τῶν χειρῶν διδόμενον ὕδωρ χέρνιβα. ἔνιοι δὲ διπλῆ σημειοῦνται ὡς ἅπαξ ἐνταῦθα εἰρημένον. A.

---

4 Ebenso wird er A 4/5 athetiert haben; denn κεφαλάς (A 3) schließt 4/5 aus. 14 Folgt nun hieraus, daß Aristarch den vers nicht athetierte und daß in A ὑπὸ τοῦ Θρᾳκός zu ergänzen ist? Diese frage muß seit Römers aufsatz im Rh. Mus. 1911 aufgeworfen werden; s. d. folg. stellen.

9/10 μὴ δέ τις T, corr. et suppl. Wilamowitz. 18 ἐφ' ἡμ. om. B. 19 πρὶν — Πρ. om. B. 21 τάδ' εἰπ. om. B. 23 αἰσχύνοιτο codd., αἰσχύνηται Maaß. 23 ἐκκόψῃ B. 23 πολεμήσωσιν B.

τινὲς ἀθετοῦσιν, ὅτι τὸ χειρόνιπτρον νῦν δηλοῖ· ἀεὶ δὲ τὸ ὕδωρ παρὰ τῷ ποιητῇ. T.

K 253. (παροίχωκεν δὲ πλέων νὺξ) τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται] ἀθετεῖται, ὅτι αὐταρκες τὸ κεφαλαιωδῶς εἰπεῖν «ἄστρα δὲ δὴ προβέβηκε». τὸ γὰρ τοῦ καιροῦ τοῦτο ἀπαιτεῖ· τὸ δὲ προσδιασαφεῖν κατὰ τὸ ἀκριβὲς τὸ παρεληλυθὸς καὶ τὸ περιλειπόμενον ὥσπερ ἀστρονόμου τινὸς ⟨οὐχ Ὁμηρικόν⟩. οὐχ Ὁμηρικὸν δὲ καὶ τὸ «τῶν δύο». «οἱ δύο» μὲν γὰρ λέγει καὶ «τοὺς δύο», «τῶν δύο» δὲ ἢ «τοῖς δύο» οὐκ ἔστιν εὑρεῖν παρ' Ὁμήρῳ (Ariston.). Ζηνόδοτος ⟨οὐ⟩δὲ ἔγραφεν, Ἀριστοφάνης ἠθέτει (Did.). A.

Ω 423. a) ὡς περισσὸς ὁ στίχος ἀθετεῖται. T.

b) οὐχ Ὁμηρικῶς κεῖται ἡ ἀντωνυμία· διὸ καὶ προηθετεῖτο. T.

---

2 Zu K 397/9 (s. 16) berichtet Didymos, daß Aristarch die verse athetierte; Aristonikos dagegen setzte eine διπλῆ. Den eindruck, als sollte diese zum obelos hinzutreten, gewinnt man nicht, vielmehr scheint ein widerspruch vorzuliegen. Ebendort wird von einer meinungsänderung Aristarchs berichtet. Diese kann an dem schwanken schuld sein. Bestimmtes vermag ich auch über Ω 304 nicht zu sagen. Daß die einführung durch τινές in T nicht gegen den aristarcheischen ursprung der athetese ins feld geführt werden kann, beweisen u. a. die S. 21 anm. angeführten scholl. zu H 133, Ξ 118, O 71. 11 Römer, Rh. Mus. 1911, s. 303 spricht die athetese dem Aristarch ab. Zuzugeben ist ihm, daß die behauptung im zweiten teile des Aristonikosscholions falsch ist (s. N 407, κ 515), es müßte denn der sinn der worte sein sollen, δύο komme in verbindung mit dem artikel nicht im genitiv oder dativ vor, was man kaum aus ihnen herauslesen kann. Daß Aristarch die beiden andern stellen übersehen haben sollte, braucht man bei dem umfang seiner forschungen auf diesem gebiete nicht anzunehmen; doch wenn diese ausführungen nicht auf ihn zurückgehen, so folgt daraus noch nicht, daß auch der erste teil des scholions nichtaristarchisch ist. Daß diese athetese nicht anders zu beurteilen ist als die zahlreichen sicher aristarchischen, schließe ich aus dem genau wie an so vielen stellen folgenden Didymosscholion; darauf daß hier ἠθέτει statt προηθέτει steht, darf m. e. bei dem zustande, in dem sich die notiz befindet — steht da doch Ζηνόδοτος δὲ γράφει statt οὐδὲ γράφει! — gar kein wert gelegt werden. Unmöglich ist übrigens auch nicht, daß Aristarch geirrt hat: wie oft widerspricht sich der gelehrte Herodian (s. u.)! 13 Der Ven. A fehlt hier leider. Daß die angabe des schol. b) über den sprachgebrauch falsch ist, weist Römer nach. Doch ist bekannt, wie der viermännerkommentar mitunter in T entstellt ist. Ein paar beispiele folgen unten. So darf man m. e. auch an dieser stelle nicht auf das vorhandensein namenlos überlieferter nichtaristarchischer athetesen schließen.

8 suppl. Roemer. 10 suppl. Bekker.

B. Der viermännerkommentar.

I. Die tätigkeit des excerptors.

A 493. ἀποφήνασθαι δεῖ, ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ διαλαμβάνων περὶ τοῦ «ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο» λέγει, ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίστου οὐκ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς καθόλου τὸ «ὡς Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν» (Λ 164) ὀξυτόνως δεῖν φησιν ἀναγιγνώσκεσθαι. A.

Δ 235. Ἀρίσταρχος ἀναγιγνώσκει «ψευδέσσι» ὡς σαφέσσι· τοῦτο γάρ φησι θέλει δηλοῦν· οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ βοηθεῖ ὁ Ζεύς. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεδα παραλαβεῖν «ψεύδεσιν» ἀνέγνωμεν ὡς βέλεσιν, ἵνα ἀπ' εὐθείας ᾖ ἡ κλίσις· «ψεῦδος δ' οὐκ ἐρέει» (γ 20). οὕτως δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης συγκατατιθέμενος Ἀριστάρχῳ. ὁ μέντοι γε Ἑρμαππίας ἀναγιγνώσκει ψεύδεσσιν ὡς τείχεσσιν, ἐπεὶ οὐδέποτε, φησίν, οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής, ἐν δὲ συνθέτῳ, φιλοψευδής (Μ 164), ἀψευδής (Σ 46)· ἢ οἶδεν ἑτέρως λεγόμενον τὸ «ψεῦσταί τ' ὀρχησταί τε» (Ω 261). συνεχῶς δὲ τὸ ψεῦδος «ὦ γέρον, οὔ τι ψεῦδος» (Ι 115), «ψεῦδος δ' οὐκ ἐρέει» (γ 20), «ἴσκε ψεύδεα πολλὰ (τ 203). ταῦτα ὁ Ἡρωδιανός· καὶ μᾶλλον πειστέον Ἀριστάρχῳ ἢ τῷ Ἑρμαππίᾳ, εἰ καὶ δοκεῖ ἀληθεύειν. A.

Θ 535/7, Schluß: τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος, ἃ καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A.

Schol. Ariston. K 398 und Berichtigung s. S. 16 f.

Φ 279. ὃς ἐνθάδε γ' ἐτράφ' ἄριστος] παροξυτονητέον· τὸ γὰρ τέλειόν ἐστιν ἐτράφη. καὶ μέμνηται αὐτοῦ ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τῆς Ξ (21), ὅπου διαλαμβάνει περὶ τοῦ «διχθάδι' ἢ μεθ' ὅμιλον». καὶ λέγει, ὅτι συναλοιφὴν πέπονθε διὰ τοῦ η̄. δεῖ οὖν διὰ τοῦ γ̄ γράφειν «ὃς ἐνθάδε», εἶτα

23 Den anfang des schol. s. s. 19. 27 Φ 279 u. A 168 als beispiele nicht wörtlicher excerpierung.

10 δηλοῦν Bast. ad Greg. pg. 334, διδοῦν A. 14 sic Bekker., συγκατατίθεται A.

«ἐτράφ᾽ ἄριστος», οὐχ ὡς οἱ πολλοὶ «τέτραφ᾽ ἄριστος» ἀπὸ τοῦ τ̄ ποιοῦντες τὴν ἀρχὴν τοῦ ῥήματος καὶ προπαροξύνοντες. A.

A 168. Ἀρίσταρχος γράφει «ἐπεί κε κάμω», ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. (οὕτως δὲ καὶ Ἡρωδιανὸς φάσκων, ὅτι τὸ «ἐπήν» ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθαι;) οὐκ ἀγνοῶ δέ, ὅτι τινὲς «ἐπήν κε» γράφουσιν. A.

E 278. ἦ μάλα] πρὸς τὴν ἑρμηνείαν· ἦ μάλα σε οὐκ ἐδάμασσε τὸ βέλος, ὅ ἐστιν ὁ ὀϊστός (Ariston.). περισπαστέον δὲ τὸν ῆ. ἔστι γὰρ μᾶλλον βεβαιωτικός (Herod.). ὑποστιγμὴ δὲ κατὰ τὸ τέλος τοῦ στίχου. κεῖται γὰρ ὁ ῆ ἀντὶ τοῦ εἶ καὶ βαρύνεται. οἱ δὲ περισπῶντες στίζουσι κατὰ τὸ τέλος (Nik.). A.

II. Didymos.

Schol. B 111 s. s. 15, A 97 s. 13, N 2 s. 16, Φ 130 s. 11.

Γ 18. αὐτὰρ ὁ δοῦρε] Ἀρίσταρχος ἄνευ τοῦ ἄρθρου «αὐτὰρ δοῦρε». οὕτως καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Καλλιστράτου καὶ σχεδὸν οὕτως καὶ ⟨πᾶσαι⟩ αἱ χαριέσταται· καὶ ὁ Ἰξίων ἐν τῷ πρώτῳ πρὸς τὰς ἐξηγήσεις ὁμοίως προφέρεται. ἔχει δὲ τὸν Ὁμηρικὸν χαρακτῆρα καὶ ἡ σὺν τῷ ἄρθρῳ γραφὴ καίπερ οὐκ οὖσα Ἀριστάρχειος· σύνηθες γὰρ τῷ ποιητῇ ἐπὶ τῶν αὐτῶν μένοντι ὑπόνοιαν παρέχειν, ὡς περὶ ἑτέρου διαλέγοιτο, προσθέσει ἄρθρου καὶ μεταλλάξει τοῦ συνδέσμου, ὡς ἐπὶ τοῦ Κύκλωπος· «κἀδ δέ μιν ὕπνος ᾕρει πανδαμάτωρ, ὁ δ᾽ ἐρεύγετο οἰνοβαρείων» (ι 372) ἀντὶ τοῦ καὶ ἐρεύγετο. Ζηνόδοτος δὲ συνηθέτηκε τοῖς ἑξῆς. οὐ συναθετουμένου δὲ δεῖ κοινὸν παραλαβεῖν «αὐτὰρ ὁ δοῦρε δύω ἔχων» καὶ νοεῖν τὸ ἄρθρον ἐξ ἐπαναλήψεως παρειλημμένον ἐπὶ τοῦ αὐτοῦ προσώπου. A.

---

1 ἐτράφετ᾽ pro ἐτράφ᾽ A; correxi: si paraphrasis loci Homerici hic extaret, ἐτράφετο legeremus. 4 Quae sunt huius grammatici Herodianum excerpentis, Ludwichium secutus (. . .) uncis inclusi. 20 πᾶσαι addidi coll. T (ἐν πάσαις καὶ χαριεστέραις). 28 Ζηνόδοτος—κοινόν Lehrs., Ζην. δὲ ἠθέτηκε τοῖς ἑξῆς οὐ συντιθέμενον. δεῖ δὲ κοινόν. A.

Θ 349. Γοργοῦς οἴματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος] ὁ Ζηνόδοτος γράφει «Γοργόνος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος». ὁ δὲ Ὅμηρος χωρὶς τοῦ ν λέγει, «τῇ δ' ἐπὶ μὲν Γοργώ» (Λ 36) ὡς Σαπφώ· διὸ [λέγει] Γοργοῦς ὡς Σαπφοῦς. Ἀρίσταρχος δὲ γράφει σὺν τῷ ι «οἴματ' ἔχων» καί φησι παρὰ τὸν οἶμον γεγενῆσθαι, τὰς ὁδοὺς καὶ τὰ ὁρμήματα. αἱ μέντοι πλείους τῶν δημωδῶν εἶχον «Γοργοῦς ὄμματ' ἔχων» οἷς συλλαμβάνει καὶ τὸ ἀλλαχοῦ λεγόμενον «τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις». χαλεπὸν οὖν τὸ σαφὲς εἰπεῖν. A.

N 502. Αἰνείας δὲ πρῶτος ἀκόντισεν] ἡ Ἀριστοφάνειος «πρόσθεν ἀκόντισε» καὶ μήποτε βέλτιον· πρότερος γὰρ ἂν εἶπεν. A.

Σ 142. ἀγορεύσατ'] παρὰ Ζηνοδότῳ «ἀγορεῦσαι». καὶ ὑποφαίνει τὸ Ὁμηρικὸν ἔθος. A.

Ψ 461. κεῖσε] Ζηνόδοτος καὶ Ἀριστοφάνης «κεῖθι». καὶ ἔστιν ἀναλογώτερον. A. (Vgl. s. 6.)

Didymos als klassischer grammatiker:

Ω 557. δασύνει Δίδυμος τὸ «ἔασας» ἐν πρώτῳ διορθωτικῶν, ὁμοίως καὶ Ἑρμαππίας, μεταλαμβάνοντες εἰς τὸ ἥδυνας. ὁ δὲ Σιδώνιος γράφει «ἐπεί με πρῶτ' ἐλέησας». Ἀρίσταρχος δὲ οὐδὲν ἀποφαίνεται ἢ μόνον ἀθετεῖ τὸν στίχον κτέ. A. (Herod.).

Aus anderen schriften des Didymos:

Ω 640. αὐλῆς ἐν χόρτοισιν] Δίδυμός φησιν, ὅτι χόρτῳ ἀντὶ τειχίων ἐχρῶντο. T.

T 116. ἄλοχον Σθενέλου] Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πελόπος Ἀμφιβίαν· Ἡσίοδος δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται. A.

H 135. Φεὰ δὲ πόλις τῆς Ἠλιδος, οἱ δὲ τῆς Ἀρκαδίας, παρ' ἣν ὁ Ἰάρδανος ῥεῖ. ἀλλὰ καὶ ἡ Φειὰ παραθαλάσσιός ἐστι καὶ Ἰάρδανος οὐχ ὁρᾶται ποταμὸς αὐτόθι. ἄμεινον οὖν,

9 Das scholion besteht aus zwei bestandteilen; das Didymosfragment beginnt mit Ἀρίσταρχος δέ (Ludw. Did. S. 291).

2 ἠδέ codd. Hom. 4 λέγει del. Lehrs. 5 φησι Lehrs., φασι A. 31 Ἰορδάνης A.

ὡς Δίδυμος, «Φηρᾶς πὰρ τείχεσσιν Δαρδάνου ἀμφὶ ῥέεθρα». οὕτω γὰρ καὶ Φερεκύδης ἱστορεῖ.

III. Aristonikos.

B 111. Ζεύς με μέγα Κρονίδης] ὅτι Ζηνόδοτος γράφει «Ζεύς με μέγας Κρονίδης. A (Ariston.).

σχολικὸν ἀγνόημα τὸ δοκεῖν Ζηνοδότειον εἶναι τὴν μετὰ τοῦ σ̄ γραφήν κτέ. (s. s. 15). A (Did.).

Δ 456. φόβος] ὅτι τὴν μετὰ δέους φυγὴν φόβον εἴρηκεν. *A (Ariston.).

Ἀρίσταρχος «ἰαχή τε πόνος τε»· οὐ γὰρ γέγονέ πω φυγή. *A (Did.).

I 128. ἀμύμονα ἔργ' εἰδυίας] ὅτι χωρὶς τοῦ σ̄ γραπτέον· οὐ γάρ ἐστι κατὰ τῶν γυναικῶν, ἀλλὰ κατὰ τῶν ἔργων. ὕστερον δὲ ἐπὶ τῶν γυναικῶν «αἳ κάλλει ἐνίκων». A (Ariston.).

Ἀρίσταρχος μετὰ τοῦ σ̄ «ἀμύμονας». *A (Did.).

ἀμύμονα] οὕτως Ἀρίσταρχος, Ζηνόδοτος δὲ «ἀμύμονας». T.

N 358/9. τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν] διχῶς Ἀρίσταρχος, καὶ «ἐπ' ἀλλήλοισιν». ἓν δὲ δι' ἀμφοτέρων τὸ λεγόμενον, ὅτι ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸν πόλεμον τῇ ἔριδι συνέδησαν, τὸ πέρας τῆς ἔριδος καὶ πάλιν τὸ τοῦ πολέμου λαβόντες καὶ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροις, ὥσπερ οἱ τὰ ἄμματα ποιοῦντες, τόδε ἐπὶ τόδε. οὕτως Ἀρίσταρχος. A (Did.).

ἡ διπλῆ, ὅτι παραλληγορεῖ δύο πέρατα ὑποτιθέμενος, ἕτερον μὲν ἔριδος, ἕτερον δὲ πολέμου, ἐξαπτόμενα κατ' ἀμφοτέρων τῶν στρατευμάτων. A (Ariston.).

ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸ πέρας τῆς ἔριδος καὶ τοῦ πολέμου συμπλέξαντες ἥπλωσαν αὐτὸ ἐπ' ἀμφοτέρων τῶν στρα-

2 Die existenz der Ω 640 zitierten schrift erklärt das aufkommen des namens «Didymosscholien», die der zweiten die unterschrift unter einer anzahl von sagengeschichtlichen (wenig gelehrten, also in dieser form sicher nicht auf Didymos zurückgehenden — vgl. Schwartz, Jahrb. f. Phil. suppl. XII, s. 438ff.) Scholien: ἱστορεῖ Δίδυμος (od. ähnl.). 18 Vgl. Schrader, Porph., s. 184 anm.

1 φηρᾶ σπάρτη καὶ Δαρδάνου A, Φηρᾶς πὰρ τείχεσσιν Ἰαρδάνου Lehrs., Δαρδάνου etiam T, Maaß.

τιωτῶν. Κράτης δὲ ἐπὶ τῶν στρατευμάτων φησίν. Τρῶες γὰρ καὶ Ἕλληνες. ἀπέστραπται δὲ ὁ Ζεύς. ἀλλ' ἐπὶ τὸν νοῦν αὐτοῦ ἀνεκτέον, θέλει δὲ εἰπεῖν, ὅτι ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν εἵλκυσαν· ὅθεν τὸ ἀδιαλύτως μάχεσθαι παρίστησιν. TB.

B 641. ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν ἴσως ὑποπτεύσας τὸν Μελέαγρον κεχωρίσθαι τῶν Οἰνέως παίδων. εἴρηται δὲ ἐξ ὀνόματος κατ' ἐξοχήν, καθάπερ ἐπὶ τοῦ «Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα» (N 1)· καὶ γὰρ ὁ Ἕκτωρ Τρὼς ἦν. A.

Λ 104. ὦ] ὅτι Ζηνόδοτος γράφει «ὃν ποτ' Ἀχιλλεύς». μήποτε δὲ πεπλάνηται γεγραμμένου τοῦ ō ὑπ' ἀρχαϊκῆς συνηθείας ἀντὶ τοῦ ω̄ προσθεὶς τὸ ν̄· ἔστι γὰρ περὶ δυεῖν ὁ λόγος. διὸ καὶ ἐπιφέρει «καὶ γάρ σφε πάρος παρὰ νηυσίν»· καὶ ὅτι οἱ μαχόμενοι παραβάται ἦσαν. A.

Α 3. ψυχάς] ὅτι κακῶς τινες μεταγράφουσι «πολλὰς δ' ἰφθίμους κεφαλάς», ἵνα (!) περιφραστικῶς τοὺς ἀνδρείους καὶ ἀγαθοὺς λέγῃ ἰφθίμους κεφαλάς. A.

B 571. Ἀραιθυρέην] ὅτι Ζηνόδοτος γράφει «Παραιθυρέην». οὐκ ἐπίσταται δὲ ταύτην τὴν πόλιν οὕτως ὀνομαζομένην. A.

Η 64. μελάνει δέ τε πόντος ὑπ' αὐτοῦ] ὅτι, ἐὰν μὲν γράφηται «πόντος ὑπ αὐτοῦ», ἔσται μελαίνεται ὁ πόντος ὑπὸ τοῦ Ζεφύρου· ἐὰν δὲ «πόντον ὑπ' αὐτῇ», ἔσται μελαίνει δὲ πόντον ὁ Ζέφυρος ὑπὸ τῇ φρικί. A.

διὰ τοῦ ν̄ τὸ «πόντον». καὶ ἔστι μέλανα ποιεῖ τὸν πόντον ὑπὸ τῇ φρικὶ ὁ Ζέφυρος. καὶ ἔστι Ὁμηρικὸν τὸ σχῆμα. εἰ δὲ γράφεται «πόντος ὑπ' αὐτῇ», τὸ «μελάνει» ἀντὶ τοῦ

---

4 Zur auffassung der alten über die stelle vgl. auch das andere schol. TB und Porph. 15 τινές] z. B. Apollonios von Rhodos. 19 οὕτως] d. i. Ἀραιθυρέην. Die stelle ist nicht korrupt, im gegenteil sehr bezeichnend dafür, wie die Aristarcheer Zenodots lesarten glaubten abtun zu können. 24 Soll das scholion sinn geben, so ist eine bemerkung des inhalts zu ergänzen, daß die zweite möglichkeit die vorzuziehende ist (vgl. T). Das scholion kann ein wörtliches Aristarchfragment sein, wenn wir das von Aristonikos hinzugefügte, störende ὅτι entfernen.

1/2 οἱ ante Tp. et Ἕλλ. add. T. 2 γὰρ om. T. ἀπέστραπται— ἀλλ' ἐπὶ τ. ν. T, πῶς δὲ ὁ Ζεὺς ἀπεστραμμένος ὢν συμβάλλει τὴν μάχην; ἢ τάχα τοῦτο ἐπὶ τ. ν. B. 2 δέ pro γάρ Maaß. 3 ὅτι om. T. 17 ἰφθίμους add. Friedlaender. 24 φρίκῃ A, cf. T. 27 γράφει T, γράφεται B. 27 αὐτῇς T.

μελαίνεται ὑπὸ τῆ φρικὶ τοῦ Ζεφύρου. ἄμεινον δὲ τὸ πρῶτον. T.

IV. Herodian.

Anlage der Ὁμηρικὴ προσῳδία:

A 294. σοὶ] οὕτως ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἀντιδιασταλτικὴ γάρ ἐστιν. διδάσκει καὶ ἡ γραφὴ διὰ τοῦ σ οὖσα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίως ἂν ἐγράφετο τῷ «εἰ δή τοι σοῦ πατρός» (β 271), «καί τοι ἐγὼ συνέριθος» (φ 32). περὶ δὲ ταύτης τῆς ἀναγνώσεως ἐντελέστερον διαληψόμεθα ἐν τῇ γ τῆς Ὀδυσσείας (50), ὅταν περὶ τῆς Ζηνοδοτείου γραφῆς ἐπιζητῶμεν, πότερον «τοῦ ἕνεκα σοὶ προτέρῳ» ἢ «τοῦ ἕνεκά τοι». A.

Z 348. ἀπόερσε] φιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ̄ ἐπιφερομένου τοῦ σ φιλοῦσθαι φιλεῖ, ἄρσαντες — οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ A ῥαψῳδίᾳ (136) —, Ἀρσινόη, «ἐν δὲ σταθμοὺς ἄρσε» (φ 45), ὄρσας, «ὄρσεο κυλλοπόδιον» (Φ 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τρισύλλαβον· πιθανῶς δὲ παρέδραμε τὴν τῶν αὐτῇ εἰργασμένων αἰσχύνην. A (A 136. ἄρσαντες] Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ καὶ τὸ ᾱ πρὸ τοῦ ρ̄ ὄντα ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. A).

Λ 454. ὠμησταί] Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται σύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἄμεινον δὲ λέγειν, ὡς ὅτι τὰ εἰς της λήγοντα τῷ η̄ παραληγόμενα ἔχοντα πρὸ τοῦ τ̄ τὸ σ̄ ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται, ἑρπηστής, ὀρχηστής. οὕτως οὖν καὶ ὠμηστής. A. — Ω 82. ὠμηστῆσιν] ὡς ὀρχηστῆσιν· προείρηται δέ. A.

Widersprüche zwischen verschiedenen schriften Herodians:

A 493 s. auf s. 35.

B 498. Θέσπιαν] ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον· τὸ

---

2 Fast ebenso B. 12 Erhalten ist zu γ 50 nur eine kurze notiz, die nichts neues neben A 294 lehrt.

10 Ζηνοδοτείου Lehrs. (cf. schol. γ 50), Ὀδυσσείου A. 25 ἐκδεχόμενοι A, corr. Lehrs. 26 λέγειν Villoison., λέγει A.

γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι, «καὶ εὐρυάγυιαν Ἀθήνην» (η 80), «πολυχρύσοιο Μυκήνης» (Η 180), καὶ ἐκ τοῦ· ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς· «ἐκ μὲν Κρητάων γένος εὔχομαι» (ξ 199). ταῦτα ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός, ἐν μέντοι τῷ ια΄ τῆς καθολικῆς προσῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν εῑ δίφθογγον αὐτὸ καταριθμεῖ, καὶ τοῦτο αὐτὸ τὸ Ομηρικὸν παρατίθησι, καὶ ἀλλαχοῦ λέγει τὴν εῑ ἔχειν αὐτὸ φανερῶς καὶ ἐπιφέρει, ὅτι καὶ «Θεσπιά» ὀξυτόνως λέγεται. A.

Λ 160. κεἰν᾽] λέγει ὁ τεχνικὸς ἐν τῷ ⟨ά⟩ ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηται τὴν ὀξυνομένην συλλαβήν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίσω συλλαβήν, καὶ ἐὰν ᾖ ἡ ἐκθλιβεῖσα συλλαβὴ ἡ ἔχουσα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίσω συλλαβὴ φύσει μακρὰ, τῷ τονικῷ παραγγέλματι γίνεται περισπώμενον᾽. περισπᾷ γοῦν τὸ δεῖλ᾽, ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ ἐναντιοῦται τούτῳ. A.

Δ 66. ὑπερκύδαντας] τὰ εἰς δας̄ ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνονται οἷον Σακάδας Σακάδα, Τιμαχίδας Τιμαχίδα, Σουΐδας Σουΐδα, Λεωνίδας Λεωνίδα, Χαρμάδας Χαρμάδα. δεῖ δὲ προσθεῖναι χωρὶς, εἰ μὴ ἀπὸ βαρυτόνου ῥήματος γένωνται· ἐκεῖνα γὰρ περιττοσυλλάβως κλίνονται ἤγουν διὰ τοῦ ντ̄, οἷον οἶδα Οἴδας Οἴδαντος, μείδω Μείδας Μείδαντος, χαρίζομαι Χαρίδας Χαρίδαντος, φείδομαι Ἀφείδας Ἀφείδαντος. τούτων οὕτως ἐχόντων τὸ «ὑπερκύδαντας Ἀχαιούς» μήποτε ἀπὸ βαρυτόνου ῥήματός ἐστι, τοῦ κυδαίνω τοῦ σημαίνοντος τὸ δοξάζω. γέγονε κυδάεις κυδάεντος κυδάεντας καὶ ὑπερκυδάεντας. λέγουσι δέ τινες, ὅτι ἐν τοῖς ἐπιμερισμοῖς λέγει ὁ Ἡρωδιανός, ὅτι μετοχή ἐστιν· λέγει γάρ, ὅτι ἐστὶ κυδαίνω ὑπερκυδαίνω ἐκύδανα κυδάνας ὑπερκυδάνας ὑπερκυδά-

---

12 ⟨α΄⟩ ex schol. P 201 inserui. τῷ περὶ Lehrs. P 201 pro τοῦ περί, quod etiam in schol. Λ 160 legitur. 18 δεῖλ᾽ Heynius, δῆλον A; cf. schol. P 201: ζητεῖ ὁ Ἡρωδιανὸς ἐν τῷ α΄ ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου περὶ τοῦ «ἃ δείλ᾽» κτέ. (altera pars, in qua de circumflexu ponendo agebatur, non extat). 21 Ἀκάδας, Ἀκάδα A, corr. Dind. 25 μείδιῶ A, μείδω coll. Choroeb. pg. 34, 30 Dind. 29 κυδίεις κυδίεντος κυδίεντας καὶ ὑπερκυδίαντας A, corr. Dind. coll. Choroebo et Eust. pg. 445, 30.

ναντας καὶ κατὰ συγκοπὴν ὑπερκύδαντας. ἐν δὲ τῷ ὀνοματικῷ λέγει, ὅτι ὄνομά ἐστι. καὶ μᾶλλον ὄνομα δεῖ λέγειν αὐτὸ ἥπερ μετοχήν· τῷ γὰρ ὀνοματικῷ μᾶλλον πιστευτέον ἢ τοῖς ἐπιμερισμοῖς. τοῦτο γὰρ ὡμολόγηται εἶναι Ἡρωδιανοῦ. ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι. A.

Λ 480. λᾶν] ἔδει μὲν περισπωμένως, ὡς μῦς μῦν· τὸ γὰρ πληθυντικὸν παρὰ Καλλιμάχῳ «αἱ μέν ῥα λίεσσιν» ὡς μύεσσιν· Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι. A (Herod. Ἰλιακὴ προσῳδία).

περισπαστέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν· πᾶσα γὰρ αἰτιατικὴ μονοσύλλαβος εἰς ν̄ λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον, μῦν μνᾶν σῦν ὖν. ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται τῆς εὐθείας ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς καθόλου. A.

Ξ 241. ἐπίσχοιες] τῷ ἐπίσχοιμι ἀκόλουθόν ἐστι τὸ ἐπίσχοις, τῷ δὲ ἐπισχοίης τὸ ἐπισχοίην. καὶ ἴσως ἔδει οὕτως ἔχειν, παρεφθάρη δὲ ὑπὸ τῶν μεταχαρακτηρισάντων· τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Σαπφοῖ καὶ τῷ πεπαγοίην παρ' Εὐπόλιδι, εἰκότως ἐβαρυτονήθη τὸ ἐπισχοίης, γενόμενον ἐπίσχοιες ὡς Αἰολικόν. οὕτω καὶ Ἀλέξανδρος ὁ Κοτιαεὺς ἐν τῷ ι΄ τῶν παντοδαπῶν. A (Her. Ἰλ. προσῳδία).

ἐπίσχοιες] οὕτως τὴν γραφὴν παρατίθεται ὁ Ἡρωδιανὸς ἐν τῷ ιζ΄ τῆς καθόλου καὶ λέγει ἀπὸ τοῦ ἐπίσχοις πλεονασμὸν εἶναι τοῦ ε̄ ἢ συστολὴν τοῦ ἐπισχοίης. A.

Herodian gegen Aristarch:

N 29. γηθοσύνη] Ἡρόδικος τὴν θοσ συλλαβὴν ὀξύνει, ἵνα ᾖ τὸ πλῆρες «γηθόσυνα» εἶτα «ἡ δὲ θάλασσα»· ὁ δὲ Ἀρίσταρχος «γηθοσύνη δὲ θάλασσα» ἀντὶ τοῦ γηθόσυνος, χαίρουσα, εἰσὶ μέντοι οἱ ἀναγιγνώσκουσι «γηθοσύνῃ» καὶ δοτικὴν πτῶσιν ἐκδέχονται ὥσπερ καὶ Ἀριστοφάνης, οἷς ἐγὼ συγκατατίθεμαι, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον τῇ χαρᾷ ἡ θάλασσα διίστατο, ἵνα καὶ ἔδει Ὁμηρικῷ δοτικὴ ἀντὶ γενικῆς παρειλημμένη ὑπάρχοι, ὑπὸ χαρᾶς ἡ θάλασσα διίστατο, ὁμοίως

13 μῦν et ὖν Bekk., μοῦν et μῦν (?) sec. Dind. A. 18 et 22 ἐπισχοίης] ἐπίσχοιες. A. 26 sq. ἐπίσχοις . . . τοῦ ε̄ Bekker., ἐπίσχοι . . . τοῦ σ A. 35 ᾖ ἵνα A, ᾖ om. Vill. 36 ὑπάρχει A, ὑπάρχοι Villoison.

τῷ «ὃς δὴ γήραϊ κυφὸς ἔην» (β 16). τί δέ ἐστι τὸ κινοῦν με ἐκθήσομαι· ὁρῶ τὰ διὰ τοῦ συνη θηλυκὰ μὴ κατὰ θηλειῶν ἐπιθετικῶς τιθέμενα, πραγμάτων δὲ ὄντα κατηγορικά. πρόδηλος δὲ ἡ παρ' αὐτῷ τῷ ποιητῇ χρῆσις. ἔστι γάρ τι κερδοσύνη πρᾶγμα, οὐχὶ κερδοσύνη γυνή· «ὡς φαμένη καὶ κερδοσύνῃ ἡγεῖτο» (Χ 247)· «ἀρχὴν ξεινοσύνης» (φ 35)· «πλαγκτοσύνης δ' οὐκ ἔστι κακόν» (ο 343)· «τὴν δ' ἤνησ', ἣ οἱ πόρε μαχλοσύνην» (Ω 30)· «δρηστοσύνη δ' οὐκ ἄν μοι» (ο 321)· «ταρβοσύνη, φὰν γάρ μιν» (σ 342). εἴπερ οὖν ταῦτα πάντα εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος, πῶς ἂν γένοιτο γηθοσύνη θάλασσα; οὐ γὰρ ἀγαθοφροσύνη γυνή· ἄμεινον οὖν ἐπὶ πράγματος παραλαμβάνειν καὶ δοτικὴν πτῶσιν ἐκδέχεσθαι. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχου καὶ τῶν ἄλλων, ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τοῦτο ἀπεφήνατο «γηθόσυνος δ' οὖρῳ» (ε 269)· οὕτως ἀκόλουθον θηλυκὸν γένοιτ' ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν, ὡς ὅτι τὰ διὰ τοῦ σῡνος, εἰ παράγοιτο ἐπιθετικῶς, ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκοῦ γένους παρασχηματισμόν. τὸ οὖν δικαιόσυνος Ζεὺς οὐκ ἔχει τὸ δικαιοσύνη θηλυκὸν ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον. A.

N 543. ἐάφθη] Ἀρίσταρχος δασύνει, ἀπὸ τοῦ ἔπεσθαι· φησὶ γάρ, ὅτι ἐπηκολούθησεν αὐτῷ· καὶ δῆλον, ὅτι παρὰ τὸ ἕπω ἥφθη ἢ εἵφθη ὤφειλεν εἶναι ὁ ἀόριστος, καὶ κατὰ διαίρεσιν ἐγίνετο ἐάφθη, ὡς τὸ ἤγη ἐάγη, ἥλη ἑάλη, ἥλω ἑάλω, τῆς δασείας ἐπὶ τὴν ἀρχὴν χωρούσης, ὡς ἔθος. ταῦτα ὁ Τρύφων ἀπεφαίνετο ὑπὲρ τοῦ Ἀριστάρχου, πιθανῶς πάνυ. ἡμεῖς δ' ἔχομεν περὶ τὸν σχηματισμόν τι ἐξαίρετον συμβεβηκὸς ἐπιστῆσαι πρὸς τὸ πρῶτον. ἡ εῑ δίφθογγος ἐν τοῖς παρωχημένοις ἄρχουσα εἰ διαιροῖτο, εἰς δύο ε̄ε̄ διαιρεῖται, εἶρτο ἔερτο («ἀτὰρ ἠλέκτροισιν ἔερτο», ο 460)· εἴργνυ ἐέργνυ («κατὰ συφεοῖσιν ἐέργνυ», κ 238). οὐκ ἄρα ἐκ τοῦ εἴφθη ἐγένετο ἡ διαίρεσις. δῶμεν δὲ ἀπὸ τοῦ η̄ ἄρχεσθαι τὸ ἥφθη, ἐπεὶ ἀδιαφόρως τὰ ἀπὸ τοῦ ε̄ ἀρχόμενα ῥήματα εἴωθε κλίνεσθαι καὶ διὰ τῆς εῑ διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ η̄· ἀπὸ γοῦν τοῦ ἑλκῶ περισπωμένου εἵλκεον φήσας τὸν παρατατικόν, διὰ τοῦ η̄ τὸν ἀόριστον ἐξήνεγκεν ἐν τῷ «Λητὼ γὰρ ἥλκησε Διός» (λ 580). ἀλλ' οὐ θέλει πάλιν τὸ η̄ τὸ κατ' ἀρχὴν τῶν παρω-

18 ποιεῖ Bekker. ποιεῖν A. 30 εἶρτο] ἧρτο A.

χημένων εἰς ε̄ καὶ α̅ διαλύεσθαι, ὁπότε ὁ ἐνεστὼς ἄρχει ἀπὸ τοῦ ε̄· ἀπὸ μέντοι τοῦ α̅ καὶ η̄, ὡς δῆλον ἐκ τῶν τοιούτων. ἥλη ἐάλη (ἁλῶ γὰρ τὸ θέμα· πρόδηλον κἀκ τῆς ἁλείς μετοχῆς), ⟨ἤγη⟩ ἐάγη· πῶς οὖν παρὰ τὸ ἔπω καὶ ἥφθη τὸ ἐάφθη δύναται διαιρεῖσθαι; διὸ ὁ Τυραννίων ἐκδέχεται ἀπὸ τοῦ ἅπτω, οὗ γίνεται ἀόριστος, φησίν, ἥφθη καὶ ποιητικῶς ἄφθη, προσόδῳ δὲ τοῦ ε̄ ἔαφθη. ὅτι δὲ τὸ προσερχόμενον ε̄ ταῖς δασυνομέναις λέξεσι μεταληπτικὸν γίνεται τῆς ἐκείνων δασύτητος, πρόδηλον κἀκ τοῦ ἔερσα ἔεδνα ἐήνδανε ἑώρων. οὕτως οὖν καὶ τὸ ἐάφθη ἔχει. σημαίνει δὲ τὸ οἱονεὶ συνήφθη αὐτῷ. ταῦτα μὲν Τυραννίων. εἰ δὲ ἠβούλετο καὶ διαίρεσιν παραλαμβάνειν ὁ ἀνήρ, οὐδὲν ⟨ἂν⟩ ἦν τὸ κωλῦον. A.

V. Nikanor.

A 193. κατὰ θυμόν] ἐνταῦθα μὲν ὑποστικτέον, ἐπὶ δὲ τὸ «ξίφος» ἤτοι ὑποστικτέον ἢ στικτέον. ἐὰν μὲν οὖν ὑποστίζωμεν ὁ ἐπιφερόμενος σύνδεσμος περισσὸς ἔσται «ἦλθε δ' Ἀθήνη». ἐὰν δὲ στίζωμεν, οὗτος μὲν καλῶς κείσεται, ὁ δὲ πρότερος πλεονάσει ἐν τῷ «ἕλκετο δ' ἐκ κολεοῖο». βέλτιον δὲ ὑποστίζειν ἀμφότερα· ἐν ὅσῳ γὰρ λογίζεταί τε καὶ σπᾶται, ἦλθεν ἡ Ἀθηνᾶ. A.

A 204. ἀλλ ἔκ τοι ἐρέω] ἤτοι στικτέον ἐπὶ τὸ ἐρέω ἢ βραχὺ διασταλτέον· ἐὰν μὲν οὖν στίζωμεν, ἔσται τὸ λεγόμενον ⟨τοῦτο καὶ τετελέσθαι ὑπολαμβάνω'. ἐὰν δὲ διαστέλλωμεν, ἔσται ὁ «δέ» κείμενος ἀντὶ τοῦ ⟨δή' καὶ τὸ «τό» ἀντὶ ὑποτακτικοῦ τοῦ ⟨ὅ'. A.

A. 211. Πτολεμαῖος καὶ Σέλευκος ἐπὶ τὸ «ὀνείδισον» στίζειν ἀξιοῦσι καὶ ὑποστίζειν κατὰ τὸ τέλος τοῦ στίχου, ἵν' ᾖ τὸ λεγόμενον ⟨ὥσπερ γὰρ ἔσται, οὕτω καὶ ἐρῶ'. ἐναντιοῦται δὲ αὐτοῖς τό τε ὑπερβατὸν τοῦ «γάρ» συνδέσμου καὶ τὸ διλογεῖσθαι τὰ ἡμιστίχια ταῦτα «ὡς ἔσεταί περ» καὶ «ὡς τετελεσμένον ἔσται». μήποτε οὖν ἄμεινον στίζειν ἐπὶ τὸ τέλος τοῦ στίχου, ἵνα μὴ μόνον συμβουλεύῃ, ἀλλὰ καὶ μαντεύηται, ὃ θεοῖς μάλιστα πρέπει. A.

---

12 Über interpunktion vgl. unt. Nikanor am schlusse.

4 ἤγη om. A, add. Bekker. 12 ἄν addidi. 17 κείσεται Cobet., στίζεται A. 29 τό τε ὑπερβ. Villoison., τὸ τῷ ὑπερβατῷ A. γάρ Friedl Nik. pg. 145, πέρ A.

A 234/40. ναὶ μὰ τόδε σκῆπτρον] ὅλη ἡ παρέκβασις διὰ μέσου ἕως τοῦ «ἦ ποτ' Ἀχιλλῆος ποθή». διὸ τὰ μεταξὺ διαστολαῖς τε καὶ ἀνυποκρίτοις στιγμαῖς ἀναπαύσομεν. τὸ γὰρ ἑξῆς ‹ναὶ μὰ τόδε σκῆπτρον· ἦ ποτ' Ἀχιλλῆος›. A.

Ξ 437. ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμασσεν] διὰ τοῦ ε̄ αἱ Ἀριστάρχου καὶ αἱ πλείους «ἀπέμεσσεν». Ζηνοδότειος δέ ἐστιν ἡ διὰ τοῦ ᾱ «ἀπέμασσεν». A (Did.).

ἀπέμασσεν] κακῶς· οὐδεὶς γὰρ ἐπὶ γονάτων καθέζεται. δύο γὰρ στάσεις, ἡ μὲν κατὰ φύσιν, ἡ δὲ ἐπὶ τῶν γονάτων· φησὶ γοῦν «στῆ δὲ γνὺξ ‹ἐριπών›» (Θ 329). ἔστιν οὖν ‹ἑζόμενος δὲ τὸ αἷμα ἐπὶ τῶν γονάτων ἀπέμες‹σ›εν› ἀντὶ τοῦ ἤμει. T (B).

βραχὺ [δὲ] διασταλτέον μετὰ τὸ «γοῦνα», ‹ἐπὶ τὰ γόνατα καθίσας ἤμει›. γελοῖοι δὲ οἱ τοῖς ἑξῆς συνάπτοντες ‹ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσεν›, ἵν‹α μὴ› ἦ ‹ἐπὶ τὰ γόνατα κάθηται›. γελοῖοι δὲ οἱ τοῖς φαινομένοις μαχόμενοι. A (Nik.).

Λ 166. μέχρι τοῦ «μέσσον κὰπ πεδίον» συναπτέον, εἶτα βραχὺ διασταλτέον· ὁ γὰρ ἐρινεὸς οὐκ ἐν μέσῳ τῷ πεδίῳ, ἀλλ' ἐγγὺς τῆς πόλεως· «λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα ἀμβατός ἐστι πόλις» (Z 433) καὶ ἀλλαχοῦ «οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεόν» (X 145). ταῦτα μὲν ὅτι πλησίον τοῦ τείχους ὁ ἐρινεός. ὅτι δὲ καὶ ἐν μέσῳ τῷ πεδίῳ ἐστὶ τὸ Ἴλου σῆμα, φανερὸν ἐξ ἐκείνου «Ἕκτωρ μὲν μετὰ τοῖσιν ὅσοι βουλὰς βουλεύουσιν θείου παρὰ σήματι Ἴλου» (K 414). ἐπαυλίζονται δὲ ἐν μέσῳ τῷ πεδίῳ ἐπὶ τοῦ θρωσμοῦ· «οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο» (K 160), ὅ τε Ἀλέξανδρος ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ τοξεύει «στήλῃ κεκλιμένος Ἴλου Δαρδανίδαο» (371)· ἡ δὲ μάχη ἐν τῷ πεδίῳ. συναπτέον οὖν ἀναγιγνώσκοντας ἕως τοῦ «μέσσον κὰπ πεδίον», εἶτα βραχὺ διαστείλαντας τὰ ἑξῆς ῥητέον· καὶ οὕτως λυθήσεται τὸ ἐν τῷ τόπῳ ἄπορον καὶ Ἴλου σῆμα καὶ μέσον πεδίον καὶ ἐρινεὸς καὶ ἡ πόλις ἐν ταὐτῷ. παρέρχονται μὲν γὰρ τὸ μέσον πεδίον, ἐν ᾧ τὸ Ἴλου σῆμα, σεύονται δὲ πρὸς τὸν ἐρινεόν, ἵενται δὲ τῆς πόλεως. ὡς εἰ οὕτως ἔλεγεν, οἱ δὲ διὰ μέσου τοῦ πεδίου παρὰ τὸ Ἴλου μνημεῖον ἔφυγον πρὸς τὸν ἐρινεὸν σπεύδοντες ‹εἰς› τὴν πόλιν. A.

---

8 ἀπέμασσεν scholio praescripsi. 11 ἀντὶ τοῦ ἤμει om. B. 15 ἀπέμασσεν A, correxi. 15 suppl. Bekker. τῷ πεδίῳ Friedl., τοῦ πεδίου A. 24 in Il. legitur ὅσοι βουληφόροι εἰσίν, βουλὰς βουλεύει. Tamen hic non sic scribendum esse, ex K 371/2 postea partim citatis efficitur. 36 εἰς inser. Bekk.

B 23. τελεία στιγμὴ κατὰ τὸ τέλος, ἐπεὶ ἀσύνδετος ὁ λόγος. τέσσαρας δὲ αὕτη χρόνους σιωπῆς δύναται. A.

B 52. ἐπὶ τὸ «κήρυσσον» ἄνω πρώτη στιγμή, ἥτις δύο δύναται χρόνους σιωπῆς. *A.

Herodian oder ein exegetischer kommentar als quelle über interpunktion handelnder scholien:

A. 62. μάντιν ἐρείομεν, ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον] μέχρι τοῦ «ἐρείομεν» διασταλτέον, εἶτα «ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον», ἵνα γενικὸν μὲν ᾖ τὸ «μάντιν», εἴδη δὲ τὰ ἐπιφερόμενα. οὕτως Ἡρωδιανός. καὶ ὁ Νικάνωρ δὲ οὕτως λέγει. A.

K 424. πῶς γὰρ νῦν, Τρώεσσι μεμιγμένοι ἱπποδάμοισιν εὕδουσ' ἢ ἀπάνευθε;] οὐ στικτέον ἐπὶ τὸ «νῦν», ἐπεὶ κομματικὸν ἔσται τὸ λεγόμενον καὶ παντελῶς ἀπηρτημένον τῶν ἑξῆς, ἀλλὰ βραχὺ διασταλτέον. κοινὸν γὰρ τὸ «εὕδουσ'», τὸ δὲ ἑξῆς πῶς γὰρ νῦν εὕδουσι, Τρώεσσι μεμιγμένοι ἢ ἀπάνευθε'; A (Nik.).

425. τὸ εὕδουσ' ἐν διαστολῇ καὶ ὑποστιγμῇ, ἵνα ἐρωτηματικὸν γένηται. καὶ αὐτὸν δὲ τὸν ἢ περισπαστέον· διαπορητικὸς γάρ. A (Her.).

A 217. ὣς γὰρ ἄμεινον] στικτέον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς «ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ». γνωμικώτερον γὰρ τὸ τοιοῦτο εἴρηται. οὕτως Ἡρωδιανός. A.

E 297. Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ] ὅλον συναπτέον ⟨τὸν⟩ στίχον, ὡς Νικάνωρ. T (συναπτέον ὅλον τὸν στίχον. *A).

Ἡλιόδωρος στίζει εἰς τὸ «ἀπόρουσεν», εἶτα ἄρχεται ἀπὸ τοῦ «σὺν ἀσπίδι δουρί τε μακρῷ». ἃ γὰρ εἶχε, φησί, πρό-

12 Herodian kam es offenbar auf die frage der akzentuierung des wortes ἤ an. Ebenso hatte Herodian an folgender stelle gelegenheit, sich über die interpungierung zu äußern, wenn auch zufällig in unseren scholienexcerpten nichts davon berichtet wird: E 278. ἢ μάλα] ὑποστιγμὴ [δὲ] κατὰ τὸ τέλος τοῦ στίχου. κεῖται γὰρ ὁ ἢ ἀντὶ τοῦ εἰ καὶ βαρύνεται· οἱ δὲ περισπῶντες στίζουσι κατὰ τὸ τέλος. A (Nik.). Vorhergeht folgendes scholion: περισπαστέον [δὲ] τὸν ἢ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός (Her.). 24 Offenbar handelte es sich um die akzentuierung von ὥς.

28 εἰς τὸ T, ἕως τοῦ A. 29 εἶλε A, εἶχε in alio quodam cod. secundum Dindorffium, τὰ ἴδια ὅπλα T.

τερον, ταῦτα τῷ Πανδάρῳ παρέδωκεν. αἴρει γοῦν, φησί, τὴν ἀσπίδα ἀπὸ τοῦ νεκροῦ καὶ καθοπλίζεται καὶ τὸ βληθὲν ὑπὸ τοῦ Διομήδους δόρυ. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές, ὡς ὅτι ἀπὸ τοῦ Πανδάρου ὁ Αἰνείας αἴρει τὰ ὅπλα· οὐ γὰρ ἐδήλωσεν ὁ ποιητής. ἀπίθανόν τε αὐτὸν ἑαυτὸν τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις. ὑπόψυχρόν τε τὸ ἐκδέχεσθαι τὸν Διομήδη, ἕως οὗ καθοπλίσηται ὁ Αἰνείας, καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν. διὸ καὶ ὁ Ἀσκαλωνίτης συνάπτει, ὥστε ἐπὶ τοῦ Αἰνείου κεῖσθαι τὸ «σὺν ἀσπίδι δουρί τε μακρῷ»· καὶ δῆλον, ὅτι Πάνδαρος ὑπ' ἄλλου κατὰ τὸ σιωπώμενον καθώπλιστο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ᾗ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ καὶ Νέστωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τοῦ Ἕκτορος προσώπου «αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην» (Θ 191). οὕτως δὲ καὶ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδοὺς οὖν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις. ταῦτα Ἡρωδιανὸς ἐν τῇ προσῳδίᾳ. A (vgl. T).

H 171/2. κλήρῳ νῦν πεπάλασθε διαμπερές, ὅς κε λάχῃσιν· οὗτος γὰρ δὴ ὀνήσει εὐκνημῖδας Ἀχαιούς] a) στικτέον κατὰ τὸ τέλος τοῦ στίχου (171)· τὸ δὲ ἑξῆς λεγόμενον «οὗτος γὰρ δὴ ὀνήσει» ἤτοι περὶ τοῦ κλήρου ἐστὶν ἢ τοῦ λαχόντος, ὃ καὶ βέλτιον· ἐπιφέρει γὰρ «καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται» (173). ἄλλως μέντοι γε ὕποπτος οὗτος ὁ στίχος ἦν· δυσέλπιδας γὰρ τούτους ποιεῖ. τὸ δὲ ἐν τῷ πρώτῳ στίχῳ δοκοῦν ἀκατάλληλον εἶναι ‹κληρώσητε, ὅς κε λάχῃσι› σύνηθες Ὁμήρῳ ἐστίν, οἷον ‹κληρώσητε· λάχοι γὰρ ἄν τις›. τὸ δὲ «διαμπερὲς» πρόσκειται ἀντὶ τοῦ διηνεκῶς, οἷον πάντες. ταῦτα δέ τινες ὑπιδόμενοι ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσιν ἀναγιγνώσκειν «διαμπερές, ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει», ἵν' ᾖ τὸ ἑξῆς ‹οὗτος γὰρ δὴ διαμπερὲς ὀνήσει, ὅς κε λάχῃσι›. οἱ δὲ καὶ οὕτως· ‹ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει›, δηλονότι μετὰ τὸ «διαμπερές» στίζοντες. ταῦτα ὁ Νικάνωρ. A.

---

17 Es muß sich hier wohl um einen exkurs handeln, zu dem etwa die besprechung der accente im verse 298 veranlassung gab (δείσας, μή πώς οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί). Die autorschaft Herodians bezeugt auch T.

1 παρέδωκεν scripsi (παρεδεδώκει T), μετέδωκεν A. 5 ἑαυτόν et Bekker. et Dind. (ex alio cod. sumptum), εἶναι A. 23 γε] τε A. 24 τούτους] τούτοις Lehrs.

b) οὕτως συνάπτειν δεῖ «ὅς κε λάχῃσιν, οὗτος, γὰρ δὴ ὀνήσει». *A (Her.?).

διαμπερές] διηνεκῶς ἀπὸ πέρατος εἰς πέρας ἐλθόντος τοῦ κλήρου, ὅ ἐστι διὰ πάντων. εἶτα ἀπὸ ἄλλης ἀρχῆς ‚ὅς γὰρ ἂν λάχῃ, καὶ Ἕλληνας καὶ ἑαυτὸν ὠφελήσει'. TB (vgl. *A).

τινὲς τελείαν εἰς τὸ «λάχῃσιν». λέγει γὰρ ‚κληρώθητε· λάχοι γὰρ ἄν τις', ὡς καὶ τὸ «μάρναθ' ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ» (Ε 33)· οἱ δὲ στίζουσιν εἰς τὸ «πεπάλασθε», εἶτα ‚ὅς γὰρ ἂν λάχῃ, διηνεκῶς, καὶ εἰς πάντα τὸν βίον ὠφελήσει τοὺς Ἀχαιούς. TB (vgl. Nik. in A).

Ξ 330. a) τελεία στιγμὴ μετὰ τὸ «Κρονίδη»· προσαγορευτικὴ γάρ ἐστιν ἡ περίοδος. ἡ δὲ ἑξῆς ἀνάγνωσις ἀμφίβολος· ἤτοι γὰρ καθ' αὑτὸ ἀναγνωστέον «ποῖον τὸν μῦθον ἔειπες», εἶτα ἀφ' ἑτέρας ἀρχῆς «εἰ νῦν ἐν φιλότητι», ἵνα ὑποστίζωμεν «κορυφῇσι» καὶ «ἅπαντα» (332), στίζωμεν δὲ μετὰ τὸ «πῶς κ' ἔοι» (333), εἶτα ἀπ' ἄλλης ἀρχῆς «εἴ τις νωϊ θεῶν αἰειγενετάων» καὶ ὑποστίζωμεν «ἀθρήσειε» (334), «περάσαι» (335), ἵν' ᾖ ἀπόδοσις «οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα» (335). οὕτως δὲ ἔσονται ἀνταποδοτικαὶ περίοδοι ἀμφότεραι ὀρθαί, τοιαῦται· ‚εἰ νῦν ἐπὶ τῆς Ἴδης κοιμηθῆναι βούλει, πῶς ἂν εἴη', οἷον πῶς ἂν ἐνδέχοιτο; ἡ δὲ ἑτέρα· ‚εἴ τις ἴδοι τῶν θεῶν καὶ τοῖς ἄλλοις εἴποι, οὐκ ἂν ἔλθοιμι εἰς τὸν σὸν οἶκον'. ἢ ἀνεστραμμένας αὐτὰς ποιητέον συναπτοντα οὕτως· ‚ποῖον τὸν μῦθον ἔειπες, εἰ νῦν ἐν φιλότητι λιλαίεαι'. A (nach Friedländer: Nikanor).

b) ἔστι δὲ στιγμὴ «ἐν κορυφῇσι» καὶ «ἅπαντα» (332), εἶτα καθ' ἑαυτὸ ἀπορούσης τῆς θεοῦ «πῶς κ' ἔοι», πῶς ἂν τοῦτο ἐνδέχοιτο. ἢ καὶ τοῦτο αὐτὸ τοῖς ἑξῆς συναπτέον, «πῶς κ' ἔοι, εἴ τις νωϊ θεῶν» ἕως τοῦ «πεφράδοι» (335), εἶτα ἀφ' ἑτέρας ἀρχῆς «οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην». A.

---

3 Exegetischer kommentar. 31 In T findet sich zu 333 die notiz στικτέον εἰς τὸ «ἔοι» ἀντὶ τοῦ ‚πῶς ἂν εἴη', augenscheinlich also in übereinstimmung mit Nikanor, wo ὑποστιγμαί dieser στιγμή vorausgehen.

6 λέγ. γὰρ scripsi, λέγ. δὲ codd. 7 ὡς—ὀρέξῃ om. B. 14 ἵνα Bekk., ἡμεῖς A. 15 στίζωμεν pro στίζομεν Bekk. 18 ἵν' ᾖ ἀπόδ. Bekk., ἣν ἡ ἀνάγνωσις A. 28 ἢ Bekk., εἰ A.

VI. Randscholien und textscholien in A.

Ω 347. οὕτως «αἰσυμνητῆρι» βασιλεῖ τὴν μορφὴν ἐοικώς. καὶ ἀλλαχοῦ «παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν» (ν 222). A.

Ἀρίσταρχος «αἰσυμνητῆρι», τουτέστι βασιλικῷ. *A.

Ε 703. οὕτως διὰ τοῦ ᾱ τὸ «ἐξενάριξαν», ὅ τε Ἄρης δηλονότι καὶ ὁ Ἕκτωρ. A.

Ἀρίσταρχος διὰ τοῦ ᾱ «ἐξενάριξαν». *A.

διὰ τοῦ ᾰ τὸ «ἐξενάριξαν. TB.

Δ 282. ἡ ἑτέρα [δὲ] τῶν Ἀριστάρχου «βεβριθυῖαι» εἶχεν· καὶ μήποτε λόγον ἔχει, ὡς ἐκεῖ «βεβρίθει δὲ σάκεσσιν» (π 474). A.

ἡ ἑτέρα τῶν Ἀριστάρχου «βεβριθυῖαι» εἶχεν. *A.

Κ 291. παρίσταο] οὕτω χωρὶς τοῦ σ̄ «παρίσταο» αἱ Ἀριστάρχου. Ζηνόδοτος «παρίσταο καὶ πόρε κῦδος», χωρὶς δὲ τοῦ σ̄ καὶ αὐτός. οὕτως δὲ καὶ αἱ πλείους εἶχον. A.

οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ «παρίστασο». *A.

Γ 239. ἤ—ἤ] ὁ μὲν Νικάνωρ ἄμφω ὀξύνει ὡς διαζευκτικούς· ὁ δὲ Ἡρωδιανὸς τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικοὺς ἄμφω δεχόμενος. A.

ὁ μὲν πρῶτος «ἤ» σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται· ⟨ἢ⟩ οὐκ ἠκολούθησαν ⟨ἢ ἠκολούθησαν⟩ μέν, οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν. *A (Her.).

Scholia mit γράφεται oder ἐν ἄλλῳ:

Θ 137. Ἀρίσταρχος «φύγον», ἄλλοι δὲ «φύγεν». ἐν ἄλλῳ δὲ τὸ «φοινικόεντα». *A.

---

17 Diese fälle beweisen, daß das textscholienexcerpt nicht zum zweck der ergänzung der randscholien angefertigt ist. Natürlich kommt es vor, daß wir durch sie, auch in fällen, wo ein randscholion existiert, eine ergänzung erhalten; s. Γ 239. 26 Daß die mit γράφεται oder ἐν ἄλλῳ beginnenden scholien früher als die andern textscholien niedergeschrieben wären, wird durch Θ 137 nicht bewiesen (Ludw. s. 156), sondern widerlegt. Umgekehrt liegt die sache allerdings bei Ψ 198 und Υ 62, wo das ἐν ἄλλῳ-scholion vorangeht.

9 ἐξενάριξεν T. 23 suppl. Lehrs.

Ψ 198. ὕλη τε σεύαιτο] ὁρμὴν λάβοι· ἀπὸ δὲ τῶν ἐμψύχων μετῆκται. χωρὶς δὲ τοῦ ν τὸ ὕλη. ⟨ἄλλοι δὲ «ὕλην⟩ τε σεύαι⟨ν⟩το» ἀντὶ τοῦ ὥρμησειαν οἱ ἄνεμοι καίειν τὴν ὕλην'. A (Did.).

ὕλη τ' ἐσσεύαιτο (sic A.)] ἐν ἄλλῳ «ὕλη τε σεύαιτο», οὕτως δὲ ἔξω τοῦ ν «ὕλη». *A.

Υ 62. ἐκ θρόνου ἅλτο] ἐν ἄλλῳ «ἐκ θρόνου ὦρτο». οὕτως καὶ ἡ Μασσαλιωτική. *A.

I 215. ἔχευεν] ἐν ἄλλῳ «ἔθηκεν». *A.

ἔχευεν] διχῶς, καὶ «ἔθηκεν». T.

Ν 71. ἴχνια] γράφεται καὶ «ἴθματα». Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης «ἴχματα». *A.

Ξ 119. αὐτόθι] γράφεται καὶ «αὐτοῦ», ὡς «αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται» (Φ 322). *A.

Ξ 440. νόσφιν ἐόντα] γράφεται «νόσφι κιόντα». A. ἐόντα] οὕτως· τὸ γὰρ «κιόντα» κατάχρησις. T.

Φ 535. ἐπ' ἀψ θέμεναι (sic A)] ἐν ἄλλῳ «ἐπανθέμεναι». *A.

οὕτως Ἀρίσταρχος «ἐπανθέμεναι» διὰ τοῦ ν, οἷον ἀναθεῖναι. τινὲς δὲ τῶν κατὰ πόλεις «ἐπ' ἀψ θέμεναι». A (Did.).

Ω 28. Ἀλεξάνδρου ἕνεκ' ἄτης] οὕτως Ἀρίσταρχος· τὸ γὰρ «ἕνεκα» τοῦ ἀπολογουμένου ἐστίν. T.

ἄτης] ἐν ἄλλῳ «ἕνεκ' ἀρχῆς». *A.

Ω 81. ἐμβεβαυῖα] ἐν ἄλλῳ «ἐμμεμαυῖα». *A.

Ω 292. ταχύν] ἐν ἄλλῳ «ἐὸν ἄγγελον». *A.

«ἐόν» ἀγαθόν, οἱ δὲ τὸν αὐτοῦ. T.

---

9 Zu I 215—Ξ 440: Ich bin nicht überzeugt worden (Ludw. s. 152), daß diese gattung nicht auf Didymos zurückgeht. Diese vier Scholien und ähnliche lassen mir Didymos als urquelle wahrscheinlich erscheinen. 11 ἴθματα] Vgl. E 778. 20 Allerdings hat der excerptor mehr als bei den andern viermännerscholien in A der fall ist, auf den text des Ven. A bezug genommen. Doch vergleiche man die redaktion in T: N 449 ἴδῃς] οὕτω Ζηνόδοτος, Ἀρίσταρχος δὲ «ἴδῃ» διὰ τοῦ ι. T. Ξ 118. ἐμεῖο] οὕτω Ζηνόδοτος· τινὲς δὲ (d. i. Aristarch, vgl. A) ἐμοῖο, ἵν' ᾖ κτητική. T. Ξ 418. ὧκα] ἡ Χία καὶ ἡ Μασσαλιωτικὴ οὕτως· Ἀρίσταρχος «ὠκύ». *T. 21 Mitunter werden in den ἐν ἄλλῳ- bzw. γράφεται-scholien wichtigere varianten bezeugt, von denen sonst im Ven. A nichts berichtet wird. Vgl. Ω 28, 81, 292. 24 So liest auch Plat. Jon 538d.

1 Veram lectionem versus Homerici in lemmate scripsi (v. schol. proximum). 2 suppl. Cobet. 3 τ' ἐσσεύαιτο A, corr. Cobet.

VII. Der viermännerkommentar in TB.

Ω 395. κεχολωμένος] ὅτι ἀντιφράζει τὸν χόλον τῇ μήνιδι. *A.

ὅτι τὴν μῆνιν διὰ τοῦ χόλος ἀντέφρασεν. T.

H 330. ψυχαὶ δ' Ἀΐδόσδε κατῆλθον] ὅτι συμφώνως τῷ κατὰ τὴν ἀρχὴν τῆς Ἰλιάδος «πολλὰς δ' ἰφθίμους ψυχάς» (A 3). οὐκ ἄρα γραπτέον «κεφαλάς». A.

ὅτι κἀκεῖ δεῖ γράφειν «πολλὰς δ' ἰφθίμους ψυχάς», οὐ «κεφαλάς». T.

B 196. διοτρεφέος βασιλῆος] οὕτως ἑνικῶς αἱ Ἀριστάρχου. καὶ Πτολεμαῖος δὲ ὁ Ἐπιθέτης ἐν τῷ πρώτῳ περὶ Ἰλιάδος Ἀριστάρχειον ὁμολογεῖ τὴν γραφήν· εἶχον δὲ καὶ αἱ χαριέσταται οὕτως ἄνευ τῆς Ζηνοδότου. A.

διοτρεφέος βασιλῆος] οὕτως αἱ πᾶσαι πλὴν τῆς Ζηνοδότου. T.

X 281. ἀρτιεπής] ὅτι οὐκ ἐν ἐπαίνῳ ὁ ἀρτιεπής, κατὰ τοὐναντίον τῷ ἀμετροεπεῖ, ἀλλὰ ὁ λάλος καὶ ὁ ἀπηρτισμένως παραλογιζόμενος. A.

σημειοῦται δὲ Ἀρίσταρχος, ὅτι οὐκ ἐπὶ ἐπαίνου τὸ «ἀρτιεπής». T.

B 53. ἴζε] ἡ κοινὴ τὸ «ἴζε» συστέλλει. A.

Ἀρίσταρχος [δὲ] τὸ «ἴζε» ἐκτείνει, ἡ δὲ κοινὴ συστέλλει. TB.

Γ 45. μετὰ τὸ «εἶδος ἔπ'» ἐὰν στίξῃς, τὸ ἑξῆς ὡς ἀπὸ τοῦ Ἕκτορος δώσεις, ἐὰν δὲ ὑποστίξῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινοῦ τὸ «φάντες», ὅτι καλὸς μέν ἐστι, γύννις δέ. TB.

μετὰ τὸ «εἶδος ἔπ'» ἐὰν ὑποστίξῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινοῦ τὸ «φάντες», ὅτι καλὸς μέν ἐστι, δειλὸς δέ. A.

H 238. αἱ Ἀριστάρχου «βῶν». ἡ Ἀριστοφανεία «βοῦν». ἡ Ῥιανοῦ «βᾶ», ὡς βορέαο «βορέω ὑπ' ἰωγῇ» (ξ 533)· ἐν τοῖς παλαιοῖς ἐγέγραπτο «βόν», ὅπερ οὐκ ἐνόησαν οἱ διορθωταί. T.

23/4 In der regel ist TB kürzer als A; Γ 45 u. d. ff.: TB ausführlicher als A.

18 ἀπηρτισμένον A, corr. Lehrs. 21 ἴζει A. 24, 25 στίζῃς, ὑποστίζῃς B.

οὕτως αἱ Ἀριστάρχου «βῶν» σὺν τῷ ν̄. ἡ Ἀριστοφάνους «βοῦν». τινὲς δὲ ἔξω τοῦ ν̄ «βῶ», καὶ μήποτε πιθανῶς. ἀντὶ τοῦ βόα. A.

οὕτως Ἀρίσταρχος «βῶν» ἀντὶ τοῦ ἀσπίδα. *A.

TB ohne korrelativum in A.

a) Γ 13. Ἀριστοφάνης γράφει «κονισάλου ὄρνυτ' ἀελλής». TB.

Γ 42. ὑπόψιον] Ἀριστοφάνης [δὲ] ἐπόψιον γράφει, ἵν' ᾖ ἐπὶ πάντων ὁρώντων κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην'. T.

Λ 186. βάσκ' ἴθι] Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι· ἄμεινον δὲ ταυτολογίαν εἶναι ἐμφαίνουσαν τὴν ἐπειξιν· καὶ ἀλλαχοῦ «ἔλθοι καὶ ἵκοιτο» (ω 237). δύναται δὲ καὶ «ἴθι» ἐπίρρημα παρακελεύσεως εἶναι ‹ἄγε δὴ πορεύου›, ὡς Νικάνωρ φησίν, ὡς τὸ «ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν» (Soph. Ai. 1003). T.

N 541. ἔνθ' Αἰνέας Ἀφαρῆα] ὥσπερ Ἑρμέας, οὕτως Αἰνέας, καθὼς Ἡρωδιανῷ δοκεῖ. B.

ὡς Ἑρμέας· οὕτως Ἀρίσταρχος. *T.

οὕτως Ἀρίσταρχος χωρὶς τοῦ ι. ἔνιοι δὲ «Αἰνείας δ' Ἀφαρῆα». *A (Did.).

b) Ξ 227. ἱπποπόλων] τινὲς «ἱππονόμων». *T.

Ξ 231. τινὲς [δὲ] ‹προσ›γράφουσιν «ἐρχομένῳ κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν. T.

Ξ 261. νυκτὶ θοῇ] τινὲς «νυκτὶ φίλῃ», ὃ καὶ ἄμεινον· τί γὰρ πρὸς τιμὴν ἡ θοὴ νύξ; TB.

Ξ 263. τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη· «Ὕπνε κτέ.»] γράφεται «ὣς φάτο· μειδησεν δὲ θεὰ λευκώλενος Ἥρη χειρί τέ μιν κατέρεξεν ‹ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν›». *T.

Ξ 278. θεοὺς δ' ὀνόμηνε ἅπαντας] ‹γράφεται καὶ› «θεὸν δ' ὀνόμηνεν ἕκαστον». T.

Ξ 279. τινὲς [δὲ] ‹προσ›γράφουσιν «ὤμνυε δ' ἐκ πέτρης κατ‹αλ›ειβόμενον Στυγὸς ὕδωρ». T.

---

6 a) Sichere fragmente des viermännerkommentars; b) der ursprung ist mir zweifelhaft, schol. Ξ 261 macht den eindruck eines viermännerscholions.

23 suppl. Ludw. 25 νυκτὶ om. B. ὃ om. T. 31 in T ad v. 379 adscriptum. suppl. Maaß. 33 suppl. Ludw. ex Eust. 34 suppl. Bekker. Il. pg. 502.

Ξ 281. Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε] τινὲς «Λήμνοιο κατὰ μέγα ἄστυ λιπόντε». τί γὰρ νῦν πρὸς τὴν Ἴμβρον; T.

Doppelte überlieferung:

N 499. a) αἱ πᾶσαι «ἔξοχον». T.

b) οἱ δὲ «ἔξοχοι ἄλλων», οἱ δὲ «ἐξοχον ἄλλων», ἐξόχως παρὰ πάντας. T.

οὕτως διὰ τοῦ ν̄ «ἔξοχον» ἅπασαι. *A.

K 306. οἵ κεν ἀριστεύωσι] αἱ Ἀριστάρχου «ἄριστοι ἔωσι», Ζηνόδοτος δὲ «αὐτούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα». — οἱ μὲν Ἕλληνες, ἃ ἔχουσι, διδόασιν, οἷν ὕπαρνον (215), ὁ δὲ Ἕκτωρ, οὓς οὐκ ἔχει, ἵππους. — Ἀριστοφάνης γράφει «καλούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα». T.

οὕτως Ἀρίσταρχος «οἵ κεν ἄριστοι ἔωσι». ὁ δὲ Ζηνόδοτος «αὐτούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα». — Ἀριστοφάνης «καλούς, οἵ φορέουσιν». A.

N 543. ἐάφθη] ἐπηκολούθησε, παρὰ τὸ ἕπω τὸ δηλοῦν τὸ ἀκολουθῶ εἴφθη «ἐάφθη». T.

ἄλλως: ἐάφθη] δασυντέον· παρὰ γὰρ τὸ ἅπτω ἀόριστος ἥφθη, κατὰ πρόσοδον τοῦ ε̄ «ἐάφθη». T (Herod.).

ἐπηκολούθησε καὶ συνέπεσε, παρὰ τὸ ἕπω, ὃ δηλοῖ τὸ ἀκολουθῶ· ὅθεν καὶ δασύνεται. B.

Der excerptor in TB gegen die ‚vier männer' und Aristarch:

A 168. ἐπεί κε κάμω] Ἡρωδιανὸς μὲν καὶ Ἀρίσταρχος «ἐπεί κε» γράφουσιν. οἱ δὲ γράφοντες «ἐπήν» τὸ «κεκάμω» ὑφ' ἓν ἀναγιγνώσκουσιν, ὡς τὸ λελάχωσι καὶ πεπίθωνται, ὅπερ καὶ ἄμεινον. εἰσὶ δὲ πολλάκις καὶ ἄμφω σύνδεσμοι, ὡς τὸ «ἆς οὔτ' ἄν κεν Ἄρης» (N 127). TB.

---

13 Der einschub eines exegetischen scholions lehrt uns, daß auch in A zwei scholien vorliegen. Man beachte das asyndeton Ἀριστοφάνης »καλούς κτέ». 18 Dies ist die von Herodian bekämpfte meinung Aristarchs; s. schol. A z. st., s. 43. 22 Die beiden ursprünglichen scholien sind in B contaminiert. Vgl. die schol. des exegetischen kommentars. 24 Vgl. die s. 50 anm. angeführten scholien. 25 Schol. A s. s. 36. 29 Sch. Φ LIO: Ἀρίσταρχός φησι τὴν «ἐπί» ἀναστρέφαι κτέ. A. οὐκ ἀναστρεπτέον τὴν «ἐπί» κτέ. TB.

6 ἔξοχον ἄλλως T, corr. Spitzner. 9 Tria scholia extare, quorum alterum a verbis οἱ μέν, tertium ab Ἀριστοφάνης incipit, vidit Maaß.

Beispiele völlig entstellter überlieferung:

Γ 348. οὐδ' ἔρρηξεν χαλκός] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ν̄ «χαλκόν». *A.

οὕτως ἄμεινον διὰ τοῦ σ̄ γράφειν· καὶ γὰρ ὕστερόν φησιν «ὁ δὲ δεύτερος ὧρνυτο χαλκῷ» ἀντὶ τοῦ τῷ δόρατι. καὶ τὸ μὲν τῆς τύχης ἔτυχεν, τὸ δὲ τῆς ἰσχύος ἀπώλεσεν. A.

χαλκόν] οὕτως Ἀρίσταρχος· ἄμεινον δὲ διὰ τοῦ σ̄ γράφειν· καὶ γὰρ — ἀπώλεσεν (= A). T.

Λ 144. Ἀρίσταρχος «οὖδας ἔρεισεν». *A.

οὔδει ἐρείσθη] οὕτως αἱ Ἀριστάρχου. T.

Λ 409. Ἀλεξίων ⟨τὸ⟩ «τόνδε» ἓν μέρος λόγου ἐκδέχεται καὶ παροξύνει, ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ ‹τοῦτον›. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ ‹τοῦτον δ'› κατὰ ἀναφορὰν ὁμοίως. ἔφαμεν δέ, ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως εὑρέθη ἐπ' ἀναφορᾶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ «τούσδε δ' ἔα φθινύθειν (B 346), ὥστε οὐδὲν κεκώλυκε καὶ ἐνθάδε τὸ τοιοῦτο παραδέξασθαι διὰ τὸ ἤδη πεπεῖσθαι τὴν παράδοσιν. βεβαιοτέρα μέντοι ἐστὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωσις· οὐδὲν γὰρ ἐναντιοῦται. A.

δύο μέρη λόγου τὸ «τὸν δέ», ὥς φησιν Ἀλεξίων· σπανίως γὰρ αὕτη ἡ ἀντωνυμία ἐπεκτείνεται παρὰ τῷ ποιητῇ. T.

C. Exegetische scholien.

I. TBA(D) gegen AD*B(T).

Z 5/6. τρισὶ μεταφοραῖς κέχρηται ἐπιφαίνων τὴν ὁμοιότητα. ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦτο πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ· καὶ πάλιν ὃ δύναται

24 Maaß, Herm. XIX 561: «Dem exegetischen teile des Ven. A stehen die scholia minora sehr nahe bei fällen, wo B und T erheblich von A und untereinander im wortlaut abgehen oder die betreffenden scholien gar nicht aufgenommen haben.» Hinzuzufügen ist, daß mit AD sehr oft *B zusammengeht. Daß es sich um zwei gesonderte überlieferungszweige handelt, geht daraus hervor, daß sich in A oft beide

11 τὸ add. Bekker.

ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιροῦσα, τοῦτο ἐδυνήθη ὁ τὴν φάλαγγα ῥήξας· καὶ πάλιν ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτω τοῖς θλιβομένοις ὑπὸ τῆς Ἄρεως ἀχλύος ἐπέλαμψεν ἡ Αἴαντος βοήθεια. ABTD (TB = AD).

A 200. Παλλάδ' Ἀθηναίην] a) Παλλὰς [δὲ] παρὰ τὰς παλάμας· ἢ ὅτι εὐκίνητος ὁ νοῦς »ὡσεὶ πτερὸν ἠὲ νόημα (η 36). TB.

b) Παλλάδα τὴν Ἀθηνᾶν ἐπιθετικῶς ἤτοι ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ (πολεμικὴ γὰρ ἡ θεός) ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν ἢ ἀπὸ τοῦ ἀναπαλῆναι αὐτὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Διὸς ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διί. AD*B.

B 6. οὖλον ὄνειρον] a) τοῦτο κατὰ συμπάθειαν, ὡς »οὐλομένην» (A 2) καὶ ἵνα ποθοῦμεν μαθεῖν, τί εἴργασται ὁ οὖλος ὄνειρος· Ἕκτορι δὲ Ἶρις πέμπεται, ἀλλ' οὐχὶ νῦν, ὅπως μὴ πρὸ τοῦ καταλόγου ἡ ναυμαχία γίνηται· ἢ «οὖλον» τὸν ἀσαφῆ καὶ ὄπουλον, εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ καὶ πρὸς αὐτὸν διαλεγόμενος οὕτω φησὶν «οὖλε» (8) — καὶ Τρῶας γὰρ ἀπώλεσε θαρρήσαντας ὑπομεῖναι τὸν Ἀχιλλέα, ποιητικὸν δὲ τὸ πλάσσειν ὀνείρους — ἢ τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον ἢ τὸν ὁλόκληρον ὡς τὸ «οὖλέ τε καὶ μέγα χαῖρε» (ω 402). T (B).

---

fassungen nebeneinander finden, auch in D sind augenscheinlich beide vertreten; über T s. u. Da umgekehrt ABTD oft übereinstimmen (vgl. auch I 223 ff. am schlusse d. b.), so könnte es scheinen, als ob eine gemeinsame quelle als archetypus, der excerpiert worden ist, zugrunde liegt. Daß die sache so einfach nicht ist, lehren stellen, wo das gelehrte T(B)-scholion gegen die erklärung AD polemisiert (s. u. Γ 213, Θ 16). Zu beachten ist, daß die sonderung in AD*B- und TB-scholien sich bei den mythologischen scholien und den porphyriosexcerpten ebenfalls findet. Daß die unterscheidung zwischen A und *A, B und *B bei Dindorff höchst unzuverlässig ist, erkennt man durch vergleich mit Ludw. Did. und Schrad. Porph. zur genüge.

1 ὁ—ῥήξας AT, ὁ om. D, ῥησσομένη ἡ φάλαγξ καὶ τὸν στρατὸν παραβλάπτουσα. B. 3 τοῖς θλιβ. Maaß., τοὺς θλιβομένους B, τοῖς νικωμένοις D, τοὺς νικωμένους AT. τῆς Ἄρ. A, τοῦ Ἄρ. D, τῆς Ἄρεος T, τοῦ πολέμου B. ἡ τοῦ Αἴ. ἐπέλ. βο. B. 8 Παλλάδα pro lemmate D. ἤτοι ⟨γε⟩ D. 9 ὅτι ἕνα τ. γιγ. Παλλ. *B. 11 ἐν τῇ κεφαλῇ D*B. διὰ τὸ A, ἀπὸ τοῦ D*B. 13 ὡς ⟨τὸ⟩ B. 14 μαθεῖν om. T. 15 ⟨ἡ⟩ Ἶρις B. 16 γίνηται Maaß., γένηται TB. 18 φησὶ «βάσκ' ἴθι, οὖλε ὄνειρε» (8) B. καὶ—χαῖρε om. B.

b) ⟨νῦν τὸν ὀλέθριον⟩. δηλοῖ ⟨γὰρ⟩ ἡ λέξις καὶ τὸν προσηνῆ καὶ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ φησὶν «οὖλον ἄρτον ἑλών» (ρ 343), καὶ τὸν μαλακὸν ὡς τὸ «οὖλων τε ταπήτων» (Π 224)· δηλοῖ δὲ καὶ τὴν τῶν τριχῶν δασύτητα ἢ διαστροφήν, ⟨ὅθεν «οὐλοκάρηνος» καὶ «οὖλας ἧκε κόμας» (Ξ 231)⟩. οὖλον δὲ ὄνειρον οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλ' ἐπ' ὀλέθρῳ πεμπόμενον, ἢ οὖλον τὸν ὑγιῆ, ὥσπερ λέγεται οὐλὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγίαινε· «οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τε ὄλβια δοῖεν» (ω 403). AD*B (⟨. . .⟩ nur in D).

ὅτι οὐ τὸν μαλακόν, ἀλλὰ τὸν ὀλέθριον· πέμπεται γὰρ ἐπ' ἀπίστῳ καὶ κακῷ. Ariston. (*A).

Γ 213. ἐπιτροχάδην ἀγόρευε] ⟨συντόμως, ἐσπευσμένως⟩. Βραχυλόγοι γὰρ οἱ Λάκωνες ἀεί. δηλοῖ δὲ εὐφυέστερον ὡς ἀπὸ μὲν Μενελάου τὸν παρὰ τοῖς ῥήτορσι καλούμενον ἄνετον τρόπον, ἀπὸ δὲ Ὀδυσσέως τὸν σύντομον. ἐπ' ἐκείνου μὲν γὰρ εἶπε «παῦρα μέν», ἐπὶ δὲ Ὀδυσσέως προσέθηκε τὸ «καὶ ἔπεα νιφάδεσσιν ἐοικότα», τουτέστι πυκνὰ καὶ πολλά. AD.

213. ἐπιτροχάδην] παρατρέχων καὶ τὰ καίρια μόνον λέγων. T.

214. παῦρα μὲν, ἀλλὰ μάλα λιγέως] οὐχ ὡς Λάκωνι· οὕτω γὰρ Δωριεῖς· ἀλλ' ὅτι ἀπορώτεροι οἱ νέοι καὶ τὸ ἀνθηρὸν διώκοντες. T.

ἐπιτροχάδην] παρατρέχων τὰ πολλὰ καὶ τὰ καίρια μόνον λέγων· οἱ γὰρ νέοι ἀπειρότεροι τοῦ τὰ πλείονα καὶ συμφέροντα λέγειν ὄντες τὸ ἀνθηρὸν μόνον καὶ χαρίεν διώκουσιν. B.

Ε 305. ἰσχίον] a) ⟨τὸ πᾶν ὀστέον·⟩ κοτύλη τὸ κοῖλον

---

22 Der gelehrte kommentar TB polemisiert also gegen die populäre-vulgäre erklärung in AD. Derselbe gegensatz findet sich in den mythologischen scholien. (Vgl. d. auswahl aus den ἱστορίαι.) 28 E 305, Θ 13 u. 16: A enthält scholien beider gruppen, zu Θ 16 auch D.

1 νῦν τ. ὀλ. D, om. A; pro iis ὄνειρος ἀσαφὴς καὶ ὕπουλος, εἰ μὴ—οὕτω φησί (= schol. TB, qu. vid.) *B. γὰρ D, om. A, δέ *B. ἡ λέξις om. *B. 3 ἄρτον δ' οὖλον D. καὶ τ. μαλ. — ταπήτων om. *B. 4 δασύτητα ἢ om. D. 5 ἢ διαστροφήν om. *B. ὅθεν—κόμας omm. A*B. 6 ὄνειρον ⟨φησίν⟩ *B. ἀλλ⟨ὰ τόν⟩ D. 8 δὲ ⟨οὖλειν⟩ ἡ λέξ. D. ὑγιαίνειν ⟨ὡς ἐν ἐκείνῳ⟩ D. 13 συντ. ἐσπ. om. A. 15 ὡς om. D. ἐπὶ Μεν. μέν D. 16 ἐπὶ δέ D. 28 τὸ πᾶν ὀστ. deest in A.

τοῦ ὀστέου, ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ ἐνστρέφεται. TA (<. . .> fehlt in A).

b) E 306. ἰσχίου] τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστέον, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα. AD*B.

Θ 13. ἐς Τάρταρον ἠερόεντα] ἐναντίος [δὲ] Ὀλύμπω ὁ Τάρταρος «οὔτ' ἀνέμοισι τινάσσεται οὐδέ ποτ' ὄμβρῳ» (ζ 43), ὁ δὲ Τάρταρος καὶ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· καὶ γοῦν τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασίν· καὶ ὁ μὲν ὅλος καταλάμπεται, ὁ δὲ ἠερόεις ἐστίν. TBA.

Τάρταρον] τὸ ὑπὸ τὴν γῆν ἐσκοτισμένον μέρος κατώτατον τοῦ Ἅιδου καὶ ἐν βαθυτάτῳ κείμενον τόπῳ. ἢ τὸν χαλεπὸν καὶ δυσχερῆ λέγει. ὠνόμασται δὲ διὰ τὸ ἐκτεταράχθαι καὶ συγκεχύσθαι τὰ ἐν αὐτῷ πάντα. οἱ δὲ τὸ ἀφώτιστον τῆς οἰκουμένης μέρος ἀπεδέξαντο. AD.

Θ 16. τόσσον ἔνερθ' Ἀΐδεω] a) τοσοῦτόν φησι τὸν Τάρταρον ἀφεστάναι τοῦ Ἅιδου, ὅσον ὁ οὐρανὸς τῆς γῆς. διὰ δὲ τούτων σφαιροειδῆ τὸν κόσμον συνίστησι, κέντρου λόγον ἐπέχουσαν εἰσάγων τὴν γῆν καὶ τὰς ἀπ' αὐτῆς ἐκβαλλομένας εὐθείας εἰς ἑκάτερα τὰ πέρατα ἴσας λέγων εἶναι. AD.

b) ὡς τὰ οὐράνια τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων καὶ τῆς Διὸς ἀρχῆς, οὕτω καὶ ἀπὸ γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου εἰς Τάρταρον. TBAD. δῆλον δέ, ὅτι οὐ σφαιροειδὴς ἡ γῆ κατὰ τοῦτον τὸν λόγον, ἀλλὰ ἐπίπεδος. T. (δῆλον δέ, ὡς τὸ μέσον κέντρον ἐστὶν ἡ γῆ. B. δῆλον δέ, ὡς οὕτω σφαιροειδὴς ἡ γῆ. D.)

---

22 ff. ὡς—Τάρταρον steht in A vor dem ersten der vorhin angeführten scholien zu Θ 13. Der in A fehlende schluß ist in T augenscheinlich unverfälscht erhalten, B und D suchen nach einem ausgleich mit der anderen überlieferung. — Vgl. Γ 213, s. 56.

3 ante τὸ ὑπὸ κτέ. lemmate omisso add. A ἰσχίον, *B ἰσχίον λέγεται. 4 ὀστοῦν. 6 δέ add. A praecedente scholio quodam, quod ad v. 16 pertinet (v. infr.), omm. TB. 7 ποτ<ε δέ> T. 8 ὁ δὲ Τάρτ. T, Τάρταρος om. A, οὗτος B. 8 καὶ γοῦν AT, ὅθεν καὶ B. 10 ἠεροειδής B. 11 Τάρταρος τὸ ὑπὸ κτέ. A, Τάρτ. in lemmate habet D. 18 τούτου D. 19 εἰσαγαγών A. 20 ἐμβαλλομένας A, 22 τά om. T. τὰ οὐρ., ὥς φησι, τρία B omisso priore ὡς. 23 καὶ—ἀρχῆς om. A. ἀρχῆς] hic finitur periodus secundum B. 24 ἀπὸ <τῆς> γ. B. καὶ ἀφ' Ἅιδου D. εἰς <τὸν> B.

N 31. εὐσκαρθμοι] εὐσκάριστοι, ὅ ἐστιν εὐκίνητοι, ταχεῖς· σκαρθμὸς γὰρ κατὰ διάλεκτον ὁ ποῦς. AD.

εὖ σκαίροντες ἢ εὔποδες· τινὲς δὲ καὶ τὸν δρόμον σκαρθμὸν ὀνομάζουσιν, *ὅ ἐστι ταχεῖς. TB.

σκαρθμὸς δὲ κατὰ διάλεκτον ὁ ποῦς. *B.

H 433. ἀμφιλύκη νύξ] τὸ καλούμενον λυκόφως, τὸ πρὸς ὄρθρον. τουτέστιν ὁ βαθὺς ὄρθρος, παρὰ τὴν λύγην, ὅ ἐστι σκοτίαν, οἱονεὶ λυκόφως τι ὄν, τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες. AD.

παρὰ τὴν λύγην, ὅ ἐστι σκιάν· καὶ λυκόφως δὲ τὸ μεταξὺ σκότους καὶ φωτός. TB.

οἱονεὶ — σκοτῶδες alt. man. T.

τὸ πρὸς ὄρθρον βαθὺν λυκόφως, τὸ μὴ — σκοτῶδες (= A). *B.

II. Mehrere quellen in T.

A 13. a) παντα χόθεν τὸν οἶκτον πεποίηται, τῷ γήρᾳ, τῇ χηρώσει τῆς παιδός, τῇ πρὸς τοὺς ἐχθροὺς παρόδῳ καὶ τῇ τῶν δώρων κομιδῇ. καὶ τὰ μὲν στέμματα κατέχει, τὰ δὲ δῶρα — χρυσὸς δὲ ταῦτα καὶ ἐσθὴς καὶ χαλκὸς ἦν — δι' οἰκετῶν προσῆγεν· καὶ τὰ μὲν τῶν θεῶν δείκνυσι καὶ παραινεῖ ὡς θεοὺς τιμᾶν, τὰ δὲ δίδωσιν, ἵνα καὶ τὴν ἀπὸ τούτων ἀντιδέξηται φιλοφροσύνην. TB.

b) ἵνα, εἰ μὲν θεοσεβής, τὰ στέμματα αἰδεσθῇ, εἰ δὲ φιλοχρήματος, τὰ δῶρα δέξηται, εἰ δὲ μή, τὸ γῆρας οἰκτειρήσῃ· παντα χόθεν δὲ τὸν ἕλεον θηρᾶται. TB. (Vgl. *A.)

I 434. a) καὶ οὗτος (d. i. Phönix) ἀπὸ τοῦ καιροῦ τὸ προοίμιον δέχεται· οὐ γὰρ ὡς συμβουλεύσων παρελήλυθεν, ἀλλ' ὡς διδοὺς ἀπόκρισιν πρὸς τὸ «Φοῖνιξ δ' αὖθι παρ' ἄμμι» (427). T.

---

1 N 31 und H 433 mögen als beispiele dafür dienen, daß *B öfter nachträge zu B aus AD bringt. 12 Nach entsprechenden fällen habe ich nicht gesucht; zahlreich sind sie sicher nicht.

2 ταχεῖς ⟨ὠκύποδες⟩ D. 4 ὅ ἐστι T, ἵν' ἦ B. Fortasse lacuna extat: ⟨καὶ εὐσκάρθμους τούτους, οἳ εὖ σκαίρουσιν⟩ ὅ ἐστι ταχεῖς. 7 παρά A, πρός D. 8 λυγόφως A. 10 ἠλύκην B. ὅ ἐσ. σκ. om. B. δέ om. T. 11 φωτός T, σκιᾶς B.

b) συνείκει αὐτῷ ἀπ' ἀρχῆς, εἶτα ἐπάγει τὴν λιτήν. τὸ δὲ «εἰ μὲν δή» ὡς παραδόξου τῆς ⟨ἀπο⟩κρίσεως οὔσης· προσεδόκων γὰρ ὡς παρακληθεὶς μενεῖς· ὥσπερ Ὀδυσσεὺς ἐκ τοῦ παρόντος ἔλαβε τὸ προοίμιον (225), οὕτω καὶ οὗτος. TB.

Σ 312. a) πιθανὴ ἡ οἰκονομία· εἰ γὰρ ἔφυγον εἰς τὴν πόλιν, ταὐτὰ ⟨ἂν⟩ τοῖς ἐν ἀρχῇ ἐγένετο, τειχήρεις οἱ Τρῶες καὶ πολιορκία· καὶ οὐδ' ἂν ὁ Ἕκτωρ ἀπώλετο κωλυόμενος ὑπὸ τῶν δημογερόντων προελθεῖν, ὡς καὶ αὐτός που λέγει «οἵ με θέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν αὐτὸν ἰσχανάασκον ἐρητύοντό τε λαοί» (O 722/3). T.

b) ἡ ἐλπὶς τοῦ δημοβορῆσαι οὐκ εἶα αὐτοὺς προνοῆσαι τὸ μέλλον καὶ ἡ τοῦ Ἕκτορος ὑπόσχεσις ἐπαγγειλαμένου ὑποστήσεσθαι τὸν Ἀχιλλέα. πρὸς ⟨δὲ⟩ τὴν ὅλην ποίησιν οἰκονομικῶς διέθετο ταῦτα ὁ ποιητής· πεισθέντων γὰρ τῷ Πολυδάμαντι τῶν Τρώων ἐξαγώνιον ἂν κατέστη τὸ λοιπὸν μέρος τῆς Ἰλιάδος. T.

Λ 278. ἐπεὶ οὐκ ἐμὲ . . . Ζεὺς εἴασεν . . . πανημέριον πολεμίζειν] a) εὖ τὸ μὴ τῷ τραύματι ἄχθεσθαι καίτοι σφόδρα ὀδυνώμενον, ἀλλ' ὅτι πανημέριος πολεμίζειν ἐκωλύθη. T.

b) οὐκ ἐπεργάζεται τὰ τοῦ τραύματος, ἀλλ' εὐπρεπῶς ἐνεδείξατο, ὅτι ὑπὸ τοῦ θεοῦ κωλυθεὶς ἀγωνίσασθαι δι' ὅλης ἡμέρας νῦν ἀναχωρεῖ. TB.

Σ 20. κεῖται Πάτροκλος] a) ἱκανῶς ἐτάχυνε τὸν κακάγγελον ἐν ὅλοις δύο στίχοις· καὶ ἐν βραχεῖ πάντα ἐδήλωσε.

---

5 Dem einen kommentator (a) kommt es, wie A 13 und I 434 beweisen, vor allem darauf an, die befolgung der rhetorischen kunstregeln im Homer nachzuweisen, der andere (b) konstatiert nur gleichsam anhangsweise am schlusse seiner interpretation, daß Homer mit den gesetzen der rhetorik vertraut war. Vgl. auch die folgenden scholien. 17 ἡ ἐλπὶς—Ἀχιλλέα (= Tb)). πρός τε τὴν ὅλην ποίησιν πιθάνην τὴν οἰκονομίαν διέθετο ὁ ποιητής. εἰ γὰρ ἔφυγον—προελθεῖν (= Ta))· καὶ κατέστη ἂν ἐξαγώνιον τὸ λοιπὸν μέρος τῆς Ἰλιάδος (= Tb)). B. (Vgl. schol. B, I 434, zu s. 59, z. 5).

2 κρίσεως TB, suppl. Wilamowitz. 3 γάρ ⟨φησίν,⟩ B. ὥσπερ ⟨δέ⟩ B. 5 Post οὗτος add. B οὐχ ὡς συμβουλεύσων δὲ παρελήλυθεν —ἄωμι = schol. Ta) h. a. l. pessime duobus scholiis in unum conversis; particula δέ (B) sensu caret, flagitatur γάρ, quod legimus in T. 7 ἄν add. Maaß. 10 ἰέναι pro μάχεσθαι T. 14 δέ Maaß., τε B. 23 τοῦ om. B. 24 νῦν om. T. 25 τόν B, τό T. 26 τέσσαρσι στίχοις B.

τὸν ἀποθανόντα, τοὺς ὑπερμαχομένους, τὸν κτείναντα. οὐκ ἐζήλωσαν δὲ τοῦτο οἱ τραγικοί, ἀλλὰ τοῖς λυπουμένοις μακρὰς ἐπάγουσι τὰς διηγήσεις τῶν συμφορῶν. TB.

b) προδοὺς ἴχνη τῆς συμφορᾶς τῷ δακρύῳ καὶ τῇ προσφωνήσει οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται· αἰφνίδιον γὰρ προσπεσόντα τοῖς ἀκούουσι τὰ δεινὰ ἐξίστησιν. TBA.

Λ 809. ἔνθα οἱ Εὐρύπυλος] a) πιθανῶς τὸ μὴ εὐθὺς ἀπιέναι πρὸς Ἀχιλλέα. ἀνήρητο γὰρ ⟨ἂν⟩ ἡ ἐν μέσῳ διάθεσις καὶ ἡ τειχομαχία. T.

b) οἰκονομικῶς, ἵνα καὶ τῇ θέᾳ τοῦ τρωθέντος καὶ τοῖς λόγοις αὐτοῦ πλέον ὀρινθῇ καὶ τῷ ἐσομένῳ πτώματι τοῦ τείχους. TB.

Ψ 206. Αἰθιόπων ἐς γαῖαν] πρὸς ἀπαλλαγὴν τῶν ἐνοχλούντων ψεύδεται. χθὲς γὰρ θεαταὶ ἦσαν τῆς μάχης καὶ ἕωθεν φιλονεικοῦσι περὶ Ἕκτορος. TB.

ἄλλως:] χαρίεν ἐν παρέργῳ δεδήλωκεν, ὅτι ἀπηλλάγησαν οἱ θεοὶ τοῦ πολέμου καὶ ὥσπερ ἐκ τῆς φροντίδος κατέστησαν, πέρας ἐχόντων ἤθη τῶν περὶ τὴν Ἀχιλλέως βούλησιν. διὸ παρὰ τοῖς Αἰθιοψί φησι πανηγυρίζουσιν. TB.

M 278. τῶν δ' ὥστε νιφάδες] a) μικρῷ πρόσθεν ἐχρήσατο τῇ εἰκόνι «νιφάδες δ' ὣς ἔπιπτον ἔραζε, ἅς τ' ἄνεμος ζαὴς» (156). ἐκεῖ μὲν οὖν πρὸς τὴν πλῆξιν τὸν ἄνεμον ἔλαβε, πρὸς δὲ τὴν συνεχῆ φορὰν νῦν καὶ πρὸς τὸ μὴ ἀποκρυσταλλοῦσθαι τὴν χιόνα. TBA.

b) ἔοικεν ἐρίσαι αὐτῷ ὁ ποιητὴς ἐπὶ τῇ παραβολῇ· εἶπε γὰρ «νιφάδες δ' ὣς πῖπτον ἔραζε» (156), νῦν δὲ ἐπεξεργάζεται τὴν εἰκόνα μεγαλοπρεπέστερον. T.

Σ 91/2. αἴ κε μὴ Ἕκτωρ πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυ-

---

12 Hier haben wir nicht die kennzeichen zur unterscheidung der beiden kommentare wie bei A 13 u. d. ff. Ich halte es jedoch für ausgeschlossen, daß diese beiden scholien demselben kommentar entstammen. Die gesonderte einführung durch πιθανῶς und οἰκονομικῶς erweckt nicht den eindruck, als ob ein scholion in zwei teile zerlegt wäre. Ebenso wenig läßt sich bei den scholien zu Ψ 206 mit bestimmtheit behaupten, welches von beiden welchem kommentare angehört. Dies ist eine folge der excerpierung. 28 Bei den folgenden fällen zeigt das eine scholion keine spur einer rhetorischen oder ästhetischen erklärung.

2 οἱ om. T. 4 ⟨τὰ⟩ ἴχνη B. 8 ἄν add. Maaß. 13 In B hoc schol. ei qu. seq. adhaeret verbis ἢ τάχα insertis. 16 ἄλλως deest in B. 23 καί om. T. πρός om. B.

πεὶς ἀπὸ θυμὸν ὀλέσσῃ] ἔδει ‹πρότερος›· δύο γάρ εἰσιν. TB.

ἀντὶ τοῦ πρότερος. *T.

ἐμφαντικῶς [δὲ] ἄγαν πάντα μὲν ὁμοῦ συνήγαγε τὰ κεφάλαια, οὐ μετ' ἄλλους δὲ ἐπιθυμεῖν φησι τῆς Ἕκτορος ἀναιρέσεως, ἀλλὰ πρῶτον ἐκεῖνον ἀναιρεῖν. T (B, s. u.).

Λ 830. ὕδατι λιαρῷ] a) θερμῷ· πραΰνει γὰρ τὰς ἀλγηδόνας. T.

b) εἰκότως· τὸ γὰρ θερμὸν αἵματος ἀγωγόν, τὸ δὲ ψυχρὸν ἐμποιεῖ φρίκην. T.

T 107. ψευστήσεις] a) ψεύσεις· ἄτοπον γὰρ λέγειν Διὶ ‹ψεύστης εἶ›. T.

b) εἰκότως ψεύδεσθαι αὐτόν φησιν ἐρεθίζουσα ἐπὶ τὸν ὅρκον. TB.

c) ὑφ' ἓν Ἀρίσταρχος ἀντικειμένως τῷ ἀληθεύσεις· ἄτοπον γὰρ τὸ διαιρεῖν «ψεύστης εἶς». T (4 M. K., vermutlich Ariston.).

Ω 725. ἀπ' αἰῶνος νέος ὤλεο] a) νέος ἐξεκόπης τῆς ζωῆς. TB.

b) ἀπὸ οἰκτροῦ [δὲ] ἤρξατο, τὴν ἐκκοπὴν τῆς ἥβης ὀδυρομένη· τοὺς γὰρ ἀποθανόντας ἐν γήρᾳ τοὐναντίον καὶ εὐδαιμονίζομεν. TB.

c) νέος] οὕτως· Ζηνόδοτος δὲ «νέον». T (Did.).

Ψ 245. τύμβον δ' οὐ μάλα πολλὸν . . . πονέεσθαι] a) μέγαν· «πολλὸς γάρ τις ἔκειτο» (H 156). TB.

b) ἀντὶ τοῦ μέγα. T.

Λ 256. ἀνεμοτρεφές] a) στερεόν, ὑπὸ ἀνέμων γεγυμνασμένον τὰς ἴνας· καὶ ἀλλαχοῦ «οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης . . . τὸ δέ τε πνοιαὶ δονέουσιν» (P 53)· δῆλον δὲ ἐξ ὧν καὶ τὸ κῦμα «ἀνεμοτρεφές» φησίν (O 625). T (στερεόν — ἴνας. B).

3 Dies scholion kann aus derselben quelle stammen wie das vorige. Beim viermännerkommentar bieten bekanntlich A und *A oft parallelscholien. 6 B sucht wieder nach einem ausgleich mit dem vorigen scholion und bringt daher am schlusse die nach οὐ μετ' ἄλλους sinnlosen worte ἀλλ' ἐκείνου προτέρου (statt ἀλλὰ πρ. ἐκ. ἀν.). 17 ψευστήσεις] ὡς κρατήσεις *A (Herod.) nach Bekker; bei Dindorff fehlt das scholion. 23 c) steht in T zwischen a) und b). 24 Von Ψ 245 ab rein exegetische scholien ohne ästhetisch-rhetorische färbung.

20 δέ om. T. τὴν—ὀδυρομένη om. T. 21 τοὺς γὰρ ἐν γήρᾳ θανόντας μᾶλλον εὐδαιμονίζομεν. B.

b) τὸ τρεφόμενον ὑπὸ ἀνέμων, ὅ ἐστιν ἰσχυρόν· τὸ ἐναντίον δὲ ἐπὶ τοῦ ἀσθενοῦς φυτοῦ· «ἐλθών τ' ἐξαπίνης ἄνεμος . . . βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίην» (P 57). ἢ «ἀνεμοτρεπές» τὸ ἀντιτασσόμενον καὶ ἀνέμοις ξύλον διὰ στεριφότητα. T (B: ἢ «ἀνεμοτρεπές» — στερριφότητα (sic) im anschluß an das vorige scholion).

ὅτι διὰ τὸ ἀνεμοτρεφὲς βούλεται σημαίνειν τὸ εὔτονον. τὰ γὰρ ἐν εὐηνέμῳ χωρίῳ φυόμενα εὔτονα γίνεται παλλόμενα καὶ κραδαινόμενα. διὸ καὶ τὴν Ἀχιλλέως μελίαν Πηλίου ἐκ κορυφῆς λέγει τετμῆσθαι (Π 44). οἱ δὲ ἀπέδωκαν ἀνεμοτρεφὲς τὸ κοῦφον καὶ εὐκίνητον. ἢ στερεόν· τὰ γὰρ ἐν ἀνέμῳ πλέον γυμναζόμενα δένδρα στερεά. A.

Σ 505. ἠεροφώνων] a) ὧν ἡ φωνὴ μέχρι τοῦ ἐμφανοῦς ἱκνεῖται, ὃ ἐν ἄλλῳ εἶπε «φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν» (O 686). TB*A.

b) τῶν ἀέρα φωνούντων — ἀὴρ γὰρ πεπληγμένος ἐστὶν ἡ φωνή — ἢ ἔωθεν συγκαλούντων. T.

Σ 593. ἀλφεσίβοιαι] a) τέλειαι, θρέμματα ἤδη δεξάμεναι παρὰ μνηστήρων. TB.

b) αἱ λαμπραὶ κατὰ τὴν ἡλικίαν. T.

ἔντιμοι καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἕδνα· θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ γάμων δῶρα. ὠνόμασται δὲ ἀπὸ μέρους, ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες, ἄλφειν γὰρ τὸ εὑρίσκειν καὶ ἀλφὴ ἡ τιμὴ καὶ ἄλφα τὸ στοιχεῖον, ὅτι εὑρέθη πρὸ τῶν ἄλλων. AD.

T 281. ἵππους δ' εἰς ἀγέλην] a) «ἀγέλην» ἵππων φησὶ τὸ συναχθὲν πλῆθος· οὐ γὰρ ἀζεύκτων ἵππων ἀγέλην ἐπήγετο ὁ Ἀχιλλεύς. T.

b) οὐ φορβάδων ἵππων, ἀλλὰ πολεμιστηρίων, ὧν τοὺς ἡνιόχους ἀνεῖλεν. οὐ γὰρ δεδαμασμένους ἤδη μετὰ φορβάδων ἔβαλλον. T.

T 339. μνησάμενοι τὰ ἕκαστος] a) ὅμοιόν ἐστι τῷ «Πάτροκλον πρόφασιν» (302). T.

---

10 ἀνεμοτρεφὲς κοῦφον (ohne τό) κτέ. bis zum schlusse noch einmal *A; vgl. D. 16 ἢ τὸν ἀέρα—φωνή im anschluß an das vorige scholion B. 31 «ἀγέλην» φησὶ τὸ συναχθὲν πλῆθος αὐτῷ· οὐ φορβάδων—ἀνεῖλεν (= T b))· ἀζεύκτους δὲ ἵππους οὐκ εἶχεν· οὐ γὰρ—ἔβαλλον (= T b)). B.

14 ὃ ἐν ἄλλῳ T, καὶ ἐν ἄλλῳ *A, ὃ ἀλλαχοῦ B. 22 ⟨τῶν⟩ γάμων D. 24 ἀλφαίνειν γοῦν D.

b) ὅμοιόν ἐστι τῷ «οἱ δὲ ἕκαστος . . . σπείσαντες» (I 656/7). T.

Υ 332. ἀτέοντα] a) ἀφροντιστοῦντα· Καλλίμαχος «Μουσέων κε⟨ι⟩νὸς ἀνὴρ ἀτέει» (frg. 537 Schn.). T.

b) ἀφροντιστοῦντα, «ὁ δὲ πρῶτον μὲν ἀρτίζων» (166)· ἢ φρενοβλαβοῦντα. T.

Δ 133. καὶ διπλόος ἧντετο θώρηξ] a) ὑπῆρχε διὰ τὴν συνάντησιν τοῦ χαλκοῦ θώρακος πρὸς τὸ ζῶμα. Τήλεφος γάρ φησι τὸ ἀπὸ τοῦ αὐχένος ἀχρὶ ὀμφαλοῦ στατὸν θώρακα καλεῖσθαι, τὸ δὲ ἀπὸ λαγόνων ἄχρι κνημῶν ζῶμα· περὶ δὲ τὸ ἧτρον ἡ μίτρα, ἔσωθεν ἐριώδης, περὶ δὲ τὴν ἐπιφάνειαν χαλκῆ οὖσα πρὸς τὸ μὴ θλίβεσθαι τὴν γαστέρα ὑπὸ τοῦ θώρακος καὶ τοῦ ζώματος. διὸ τὴν συμβολὴν διπλόον θώρακά φησιν. ἄνωθεν δὲ τῆς μίτρας καὶ τῆς συνδέσεως τοῦ ζώματος καὶ τοῦ θώρακος ζώνη ἐπέκειτο συσφίγγουσα τὰ πάντα, ἣν ζωστῆρα καλεῖ. TB.

b) Αὐτόχθων οὕτως· τὰ πρὸς ταῖς λαγόσι μέρη τοῦ θώρακος διὰ τὸ μὴ συνδεδέσθαι ἀλλήλοις πτέρυγα καλεῖται· ταῦτα ἐπιτιθέμενα ἀλλήλοις καὶ σφιγγόμενα ὑπὸ τοῦ ζωστῆρος διπλοῦν τὸν θώρακα ἐκεῖσε ἀπεργάζονται. ἔστιν οὖν ἐν μὲν τῷ χρωτὶ ἡ μίτρα, μεθ' ἣν τὸ ζῶμα τὸ ἀπὸ κνημῶν ἀνιὸν ἄχρι λαγόνων, μεθ' ὃ ὁ θώραξ, ὡς εἴρηται, περὶ τὰς λαγόνας διπλούμενος, ἄνωθεν δὲ ὁ ζωστήρ. TB.

Ω 54. κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει] a) καλῶς τὸ ἀναίσθητον γῆ παρείκασεν. T.

---

6 ἀτέοντα] a) ἀφροντιστοῦντα, φρενοβλαβοῦντα· καὶ ἀτίζω τὸ μωραίνω. b) οὕτως ἐν ἁπάσαις (nicht «χατέοντα». Ludwich). «ἀτέοντα» ἀφροντιστοῦντα. Καλλίμαχος κτέ. A. Das Didymosexcerpt umfaßt die worte οὕτ. ἐν ἁπ.. «ἀτέοντα» ist lemma des neuen scholions. Wir sehen hieran, daß die beiden scholien in T wirklich voneinander zu trennen sind. B zieht sie wieder zu einem zusammen, mit unrecht. 24 Maaß hält a) und b), die in T voneinander nicht getrennt sind — auch in T werden bekanntlich oft mehrere scholien verschiedener herkunft aneinandergereiht — für ein scholion und fügt aus B ἤ ein. Mir scheint dies nach dem stil der beiden bestandteile unmöglich zu sein. Ich glaube nicht, daß kommentator a) nach dem lobenden urteil noch eine zweite interpretation für zulässig erklären konnte. Doch sei

3 Μουσαῖον A, Μουσῶν δέ B. 4 κενός TB, κεῖνος A. ἀτελεῖ T, ἀτέει AB. 7 ὑπῆρχε om. B. διὰ τ. πρὸς τ. ζ. συνένδησιν τοῦ χ. θ. B. 12 θλίβειν B. ὑπὸ—ζώματος om. B. 15 τά om. B. 19 ⟨δέ⟩ ἐπιτιθέμενα ⟨μόνον⟩ B. 20 ἔστιν B, διά T.

b) ὅτι ἀπὸ γῆς τὸ σῶμα, ὡς καὶ Ἐμπεδοκλῆς . . . καὶ Ἡράκλειτος «νέκυες κοπρίων ἐκβλητότεροι». T.

c) βαρὺ καὶ γεῶδες τὸ σῶμα. T.

d) ἀντὶ τοῦ ἀναίσθητον. κέχρηται δὲ τῷ εἰδικῷ ἀντὶ τοῦ γενικοῦ. κωφὸν δὲ καὶ τὸ μὴ προϊέμενον φωνήν· «κωφὸν γὰρ βέλος» (Λ 390) καὶ κύματι κωφῷ (Ξ 16). T(B). ἀντὶ — κωφῷ (= T d)). καλῶς δὲ τὸ κτέ. (= T a)). ἢ ὅτι — σῶμα (= T b)) καὶ ὅτι βαρὺ καὶ γεῶδες (vgl. T c)) καὶ Ἐμπεδοκλῆς φησι «νέκυες κτέ. (= T b))». B.

Λ 140. ἀγγελίην ἐλθόντα] a) μετ' ὀνόματος εἰρηνικοῦ ἥκοντα παρὰ τὸν τῶν ἀνθρώπων νόμον φονεύειν ἐπεχείρησεν. TB.

b) ἀντὶ τοῦ εἰς πρεσβείαν. TAD.

c) δύο [δὲ] σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὸ ἄγγελμα, ὡς ἐν τῷ «ἀγγελίην εἶποιμι περίφρονι Πηνελοπείῃ» (ο 314), καὶ τὸν ἄγγελον ἤτοι τὸν πρέσβυν, ὡς ἐνταῦθα «ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι». TAD*B.

X 146. τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο] a) ἐμφαντικώτατα κεῖνται αἱ προθέσεις, τοῦ μὲν ὑποδῦναι τὸ τεῖχος σπουδάζοντος, τοῦ δὲ ἐξωθοῦντος αὐτόν· ὁ δὲ λόγος κατὰ τὴν ὑπὸ τὸ τεῖχος ἀμαξιτὸν ἔτρεχον'. T.

---

dem, wie ihm sei, jedenfalls haben wir hier drei scholien verschiedener herkunft, wie ich glaube, vier. Excerpte dreier kommentare finden sich auch an anderen stellen nebeneinander (s. d. folg.). Dem einen der ästhetisch-rhetorischen kommentare, die A 13, I 434 usw. vorliegen, gehört schol. a) an, dem andern kann c) entnommen sein. Zu beachten ist, daß dies zwei parallelkommentare sind. Das ästhetische und das exegetische scholion zu Σ 91/2 (s. 60f.) stehenim widerspruch miteinander. Daß indessen auch zwei rein exegetische kommentare zu unterscheiden sind, beweisen, denke ich, die angeführten scholien zur genüge (Λ 256, Σ 205 u. d. folg.). Daß zu Δ 133 (s. 63) zwei quellen zitiert werden, sei nebenbei bemerkt.

10 Λ 140a) schreibe ich dem kommentator b) von A 13 u. I 434 zu. 13 Daß die scholien TB oft mit AD wörtlich übereinstimmen, ist oben erwähnt (s. 54 anm.); daß auch im falle der abweichung mitunter T in einem zweiten scholion der redaktion AD folgt, scheinen mir die scholien zu Z 397 (s. am schlusse des ἱστορίαι bezeichneten abschnittes) zu beweisen. Dieser klasse gehört offenbar auch T c) zu Λ 140 an.

1 Lacunam extare suspicor. Cf. B. 5 τοῦ om. B. 14 δέ TAD, om. *B. ἡ λέξ. π. τ. ποι. omm. D*B, pro iis ἀγγελία D. 16 πρεσβυν Maaß., πρέσβιν codd. 17 ἀγγελίην—Ὀδυσῆι om. *B.

b) τὸ ἑξῆς κατ᾽ ἀμαξιτὸν αἰὲν ἐσσεύοντο ὑπὲκ τείχεος᾽. δηλοῦσι δὲ αἱ προθέσεις τὸν μὲν ὑποδῦναι τὸ τεῖχος σπουδάζοντα, τὸν δὲ ἐξωθοῦντα αὐτόν. T.

c) Ἀττικῶς πεπλεόνακε ταῖς προθέσεσι τὸ δυσέλικτον τοῦ δρόμου παριστάς. T.

X 97. πύργῳ ἔπι προύχοντι] a) παρὰ τὸ προέχον τοῦ πύργου, ὡς «νείατον ἀνθερεῶνα» (E 293) καὶ «νείαιραν . . . γαστέρα» (Π 465). TB.

b) ὑπονοητέον τὴν οἰκοδομίαν κάτωθεν οὖσαν πλατεῖαν καταλήγειν εἰς στενόν. ἢ πύργον προύχοντα᾽ τὸ τοῦ πύργου προέχον, ὡς «νείαιραν . . . γαστέρα»· ἔστι δὲ πλινθίῳ παραπλήσιον τοῦτο. T (B).

c) ἡ «ἐπί» ἀντὶ τῆς παρά, ὡς «ἀλλὰ μάχεσθ᾽ ἐπὶ νηυσὶν ἀολλέες» (O 494). ὡς ἀνδριαντοπλάστης δὲ νῦν μὲν τοῦτον, ὕστερον δὲ ἐπὶ τῆς μελίας ἱδρύει τὸν Ἀχιλλέα (225). T (B).

Σ 379. κόπτε δὲ δεσμούς] a) ἤλαυνε τοὺς ἥλους, ὥστε καταπεῖραι τὰ ὦτα. T (ähnl. B).

b) μείζων [δὲ] ἡ χάρις τοῦ καταλιπόντος ἡμιτελὲς τὸ ἔργον. TB.

c) ἤλαυνε, «δεσμοὺς» δὲ τὰς λαβάς· ἢ τοὺς ἥλους ἐνῆρεν. T (B).

III. Polemik gegen Aristarch.

A 189. διάνδιχα μερμήριξεν] ὅτι δύο ἐμερίμνησεν οὐκ ἐναντία ἀλλήλοις, ὅπερ ἐκλαβών τις προσέθηκεν «ἠὲ χόλον παύσειεν» (192). A.

---

5 κατ᾽ ἀμαξιτόν] τὴν λεωφόρον· «ἦ περ ἅμαξαι ἄστυδ᾽ ἀφ᾽ ὑψηλῶν ὄρεων« (κ 103). *T. βραχὺ [δὲ] διασταλτέον κτέ. *T. τὸ ἑξῆς—τείχεος (= T b)). βραχὺ δὲ διασταλτέον μετὰ τὸ «ὑπέκ». ἐμφαντ. δὲ κ. αἱ πρ. (= T a)). δηλοῦσι—αὐτόν (= T b)). ἀμαξιτὸς δὲ ἡ λεωφόρος καὶ βασιλικὴ ὁδός. B. 16 Man kann vielleicht zweifeln, ob nicht a) und c) derselben quelle angehören; oder beginnt ein neues scholion mit ὡς ἀνδρ.? Das excerpt in B ist teilweise sinnlos, indem der schreiber nicht gemerkt hat, daß in b) zwei verschiedene ansichten einander gegenübergestellt werden: ὑπον. δὲ τὴν—στενόν (= T b), doch s. d. adn. cr.). προύχοντα δὲ τὸ προέχον τοῦ πύργου λέγει.

9 ⟨δὲ⟩ τὴν οἰκοδομήν B. 10 ⟨καὶ⟩ καταλ. B. 19 b) a schol. a) separaverunt Bekker. et Maaß.

θέλει [δὲ] εἰπεῖν, ὡς δύο ἐβουλεύσατο, ἀναστῆσαι ἐκείνους καὶ ἀνελεῖν Ἀγαμέμνονα· ὅθεν περισσόν φαμεν (i. e. ἡμεῖς οἱ Ἀριστάρχειοι) τὸ «ἠὲ χόλον παύσειεν» (192, ἀθ. Ἀρ.). ἢ τὸ μὲν ἀναστῆσαι ἐκείνους καὶ ἀνελεῖν Ἀγαμέμνονα ἓν θετέον, τὸ δὲ «χόλον παύσειε» δεύτερον, ὃ καὶ ἄμεινον. ἡ γὰρ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλεν· τοῦτο δὲ ὑποφαίνει διὰ τοῦ «κατὰ φρένα καὶ κατὰ θυμόν. TB.

Γ 396/418. ἀθετοῦνται. πῶς γὰρ ἡ γραῖα παλαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ . . . στήθεα ἱμερόεντα; A (s. s. 29).

397. οὐδὲν ἄτοπον γυμνὴν φαίνεσθαι τὴν θεόν· Ἑλένῃ γὰρ ἤθελε γνωρισθῆναι κρύπτεται δὲ τὰς Τρωάς. TB.

Θ 444. Διὸς ἀμφίς] πρὸς τὴν κάθεδραν, ὅτι ἑκατέρωθεν τοῦ Διὸς Ἥρα καὶ Ἀθηνᾶ. A.

χωρίς, οὐκ εἰς τὴν συνήθη ἕδραν· ἀλλαχοῦ γοῦν «πλησίαι αἵ γ' ἥσθην» (Δ 21)· ὅθεν φησὶν «οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι». TB.

Χ 199. ἀθετοῦνται στίχοι τρεῖς, ὅτι καὶ τῇ κατασκευῇ καὶ τῷ νοήματι εὐτελεῖς κτέ. A.

ὡς δ' ἐν ὀνείρῳ] τὸ ἄπρακτον θέλει δηλῶσαι· ὡς γὰρ ἐκεῖνοι φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ εἰσίν, οὕτω καὶ οὗτοι οὐδὲν ἤνυον, οὔτε οὗτος τὸ φεύγειν οὔτε οὗτος τὸ καταλαβεῖν· δοκοῦν γὰρ ἑκάτερον γενέσθαι οὐδέτερον γίνεται. καλῶς δὲ καὶ ἐπὶ τὴν μετάφρασιν ἐλήλυθε «φεύγοντ‹α›» «ἀλύξαι» «μάρψαι» «διώκειν». TB.

---

8 Besonders oft richtet sich die polemik gegen die athetesen. Vgl. z. b. noch Δ 55/6, 195, H 295, Θ 108, Ω 6, 443 u. unt. Porph. 14 Vgl. Ariston. zu Δ 21.

1 δέ om. B. 2 sqq. φασὶ τὸν «ἠὲ χόλον», ἀλλ' οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ἐκ. ἀναστ. κ. ἀν. αὐτὸν ἓν θετ., τὸ δὲ «ἠὲ χόλ. π.» κτέ. B. 12 ἦλθε T. ταῖς Τρωάσιν. B. 15 γοῦν om. B. πλησίον ἥσθην B. 21 ἐκεῖνα TB, corr. Maaß. 24 sq. ἦλθε, τῷ ὑποφεύγειν ἀντιθεὶς τὸ «ἀλύξαι» καὶ τῷ «διώκειν» τὸ «μάρψαι». B.

D. Ἱστορίαι, Porphyrios, Heraklit.

I. Die sagengeschichtlichen Scholien.

N 302. Φλεγύας] Φλεγύαι Γυρτῶνα κατοικοῦντες παρανομώτατον καὶ λῃστρικὸν διῆγον βίον καὶ κατατρέχοντες τοὺς περιοίκους χαλεπῶς ἠδίκουν· Θηβαῖοι δὲ πλησιόχωροι ὄντες ἐδεδοίκεσαν καί μέρχι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος οἱ Διὸς καὶ Ἀντιόπης ἐτείχισαν τὰς Θήβας· εἶχε γὰρ Ἀμφίων λύραν παρὰ Μουσῶν αὐτῷ δεδομένην, δι' ἧς κατέθελγε καὶ τοὺς λίθους, ὥστε καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτους ἐπέρχεσθαι. τούτων μὲν οὖν ζώντων οὐδὲν οἱ Φλεγύαι τοὺς Θηβαίους ἠδύναντο διαθεῖναι· θανόντων δὲ αὐτῶν ἐπελθόντες σὺν Εὐρυμάχῳ τῷ βασιλεῖ τὰς Θήβας εἷλον. πλείονα δὲ τολμῶντες ἀδικήματα κατὰ Διὸς προαίρεσιν ὑπὸ Ἀπόλλωνος διεφθάρησαν. οὗτοι δὲ ἐνέπρησαν καὶ τὸν ἐν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος. ἡ ἱστορία παρὰ Φερεκύδει. AD.

οἱ μὲν Γυρτωνίους, οἱ δὲ τοὺς ἐνοικοῦντας τὴν Δαυλίδα τῆς Φωκίδος, οὓς «μεγαλήτορας» οἴονεὶ δεινορέκτας φησὶ διὰ τὸ πεπορθηκέναι τὸν ἐν Πυθοῖ ναόν. καὶ Φερεκύδης δὲ ἱστορεῖ περὶ τῶν Φλεγυῶν· καὶ γὰρ αὐτὰς τὰς Θήβας ὑπ' Ἀμφίονος καὶ Ζήθου διὰ τοῦτο τετειχίσθαι. μετὰ δὲ ταῦτα τὰς Θήβας ὑπ' αὐτῶν αἱρεθῆναι Εὐρυμάχου βασιλεύοντος καὶ ἔρημον γενέσθαι τὴν πόλιν μέχρι τῆς Κάδμου ἀφίξεως· ἐπὶ πλεῖον δὲ περὶ αὐτῶν διείλεκται Ἔφορος ἀποδεικνὺς ὅτι τὴν Δαυλίδα καὶ οὐ τὴν Γυρτῶνα ᾤκησαν· ὅθεν καὶ παρὰ Φωκεῦσι τὸ ὑβρίζειν φλεγυᾶν λέγεσθαι· ἔστι δὲ ταῦτα ἐν τῇ τριακοστῇ τῇ Δημοφίλου. πάλαι δὲ διεφέροντο Φωκεῖς πρὸς

---

3 Im allgemeinen gilt der grundsatz: Die überlieferung TB ist gelehrt, die von AD*B will das für die allgemeine bildung geforderte bieten.

3 et 10 Φλεγύες D. 3 Γόρτυνα AD, Γυρτῶνα O. Müller., Orchom. pg. 181, cf. T. 11 διαθεῖναι ⟨κακόν⟩ D. 13 ⟨τοῦ⟩ Διός D. 14 οὗτοι κτέ. usque ad finem om. D. 15 ὡς, ἱστορεῖ Φερεκύδης D. 16 Γορτυνίους T (et B: Φλέγυας δὲ τοὺς Γορτυνίους). 17 Φ. οὐ μ. οἷον ἰδεῖν ὀρέκτας, corr. Bekk. 20 post τετ. om. Maaß. διὰ τὸ δέος τῶν Φλεγύων. 24 τὸν Γυρτόνα T.

Θεσσαλούς· διὸ καὶ τὰς Θερμοπύλας ᾤκησαν Φωκεῖς· εἴσοδον γὰρ ἔχουσιν ἀπὸ Θεσσαλίας. T.

B 212. Θερσίτης] Οἰνεὺς καὶ Ἄγριος ἀδελφοί, ὡς λέγει ὁ ποιητὴς ἐν τῇ Ξ (117)· ἀλλ' ὁ μὲν Οἰνεὺς ἦν πατὴρ Μελεάγρου, ὁ δὲ Ἄγριος Θερσίτου. μήτηρ δὲ Θερσίτου Δῖα. AD.

Οἰνεῖ ἀμελήσαντι τῆς Ἀρτέμιδος θυσιῶν ἕνεκα ἡ θεὸς ὀργισθεῖσα ἔπεμψε τῇ πόλει σῦν ἄγριον, ἐφ' ὃν ἦλθε στρατεία τῶν ἀριστέων τῆς Ἑλλάδος, ἐπειδὴ ἐλυμαίνετο τὴν χώραν, ὡς φησιν αὐτὸς ὁ ποιητὴς ἐν τῇ I (533). μεθ' ὧν ἦν καὶ ὁ Θερσίτης, ὃς δειλωθεὶς κατέλειψε τὴν παραφυλακήν, ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν τὴν σωτηρίαν θηρώμενος. ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο καὶ κατὰ κρημνοῦ πεσὼν τοιοῦτος ἐγένετο, οἷον ὁ Ὅμηρος αὐτὸν παρίστησιν. ἱστορεῖ Εὐφορίων. AD.

Φερεκύδης [δὲ] καὶ τοῦτον ἕνα τῶν ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατευσάντων φησίν· ὑποδείσαντα δὲ καὶ τὴν τοῦ συὸς ἐκκλίνοντα μάχην ὑπὸ Μελεάγρου κατακρημνισθῆναι· διὸ καὶ λελωβῆσθαι τὸ σῶμα. Ἀγρίου δὲ καὶ Δίας τῆς Πορθάονος αὐτόν φασιν. εἰ δὲ συγγενὴς ἦν Διομήδους, οὐκ ἂν αὐτὸν ἔπληξεν Ὀδυσσεύς· τοὺς γὰρ ἰδιώτας μόνον ἔτυπτεν. εὖ δὲ καὶ οὐκ ἀπὸ πατρὸς αὐτὸν συνέστησεν, οὐδ' ἀπὸ πατρίδος, ἀλλ' ἀπὸ τοῦ τρόπου μόνον καὶ τῆς μορφῆς, ὧν χρεία τὰ νῦν. TB.

A 39. Σμινθεῦ] ἐπίθετον Ἀπόλλωνος· Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος ἀπὸ αἰτίας τῆσδε· (es folgt die ἱστορία). AD.

A 5/6. ἱστορία. Διὸς βουλὴν οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοσαν, ἄλλοι δὲ ἐξεδέξαντο δρῦν ἱερὰν μαντικὴν τοῦ Διὸς

---

2 Das zweite schol. T steht zu AD in beziehung (ἄλλως: Φλεγύαι ἔθνος βίαιον περὶ τὴν Γυρτῶνα, οἳ Θηβαίοις ἐπιχειρήσαντες ὑπὸ Ἀπόλλωνος κατεταρταρώθησαν). 3 Öfter findet sich in AD neben der ἱστορία eine kurze notiz, wie sie durchaus in den rahmen eines exegetischen kommentars paßt. 15 Vgl. Schwartz, De schol. Hom. ad hist. fab. pertinentibus, Jahrb. f. Phil. suppl. XII, pg. 423. 25 Im folgenden zwei belege dafür, wie die ἱστορία an die exegese angeknüpft wird.

4 ἐν τῇ Θ A. 8 στρατιὰ τῶν ἀρίστων D. 11 δηλωθείς A. 14 κρημνῶν D. 16 δέ om. B. 17 post φησίν in T legitur: ἐκκλίνοντα τὴν τ. σ. μάχην. 24 νῦν χρεία. B. 25 ὦ Σμίνθιε. ἔστι δὲ ἐπίθ. D. 26 αἰτ. τοιᾶσδε D. 28 ἱστ. om. D.

ἐν Δωδωναίῳ ὄρει τῆς Θεσπρωτίας, ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ «τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι» (ξ 327). ἄλλοι δὲ ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρουμένην ὑπ' ἀνθρώπων πολυπληθίας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς πάνυ ἀπώλεσεν. ὕστερον δὲ πάλιν . . . συμβούλῳ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθεῖραι. ὅπερ τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατέρος καλῆς γένναν, . . . , ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο· ἀφ' οὗ χρόνου συνέβη κουφισθῆναι τὴν γῆν πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνῳ τῷ τὰ Κύπρια πεποιηκότι εἰπόντι οὕτως·

«ἦν ὅτε μύρια φῦλα κατὰ χθόνα πλαζόμεν' ἀ⟨νδρῶν⟩
. . . ⟨ἐβάρυνε⟩ βαθυστέρνου πλάτος αἴης·
Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν πυκιναῖς πραπίδεσσι
σύνθετο κουφίσσαι . . . παμβώτορα γαῖαν
ῥιπίσσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο
ὄφρα κενώσειεν θανάτῳ βάρος· οἱ δ' ἐνὶ Τροίῃ
ἥρωες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή.»

---

